# Νικήτα Ἰκονιαίου ἁμαρτωλοῦ τοῦ Σεΐδου

## Λόγος σχεδιασθεὶς
## πρὸς Ῥωμαίους·

καὶ δύο ταῦτα ἀποδεικνύων
ὅτι τε αἰδεσιμώτερα τὰ Νέα τῶν Παλαιῶν
καὶ ὅτι ἐκ τοῦ Πατρὸς μόνον
ἐκπορεύεται τὸ Πνεῦμα τὸ Ἅγιον.

ἐκ τοῦ κώδικος Ath. 483 Bibl. Nat.
ἐκδίδει

Ἀπόστολος Πιερρή

144R |Πολλὰ μὲν ὑμῖν, ὦ ἄνδρες Ῥωμαῖοι, τὰ διϊστῶντα ὑμᾶς
ἀφ' ἡμῶν, καὶ πάντα παράνομα· τρία δὲ τῶν ἄλλων παρανομώτερα.
Καὶ ἵνα τἄλλα παρήσω διὰ τὸ πλῆθος, — καὶ ἅμα μηδὲ βλάβην
πρὸς τὴν ἕνωσιν ἐμποιοῦντα τοσαύτην, καίπερ ὄντα βλαβερά, — περὶ
τούτων ὑμῖν ὡς οἷόν τε διὰ βραχέων ἀδελφικῶς διαλέξομαι.

Φέρε οὖν, εἰ δοκεῖ καὶ ὑμῖν, σκοπήσωμεν εἰρηνικῶς καὶ
ἀμάχως πότε καὶ πῶς καὶ δι' ἃ κακῶς διεσχίσθημεν ἀπ' ἀλλήλων,
ἓν σῶμα πρότερον ὄντες. Τριακοσίων γὰρ καὶ ἑξήκοντα μικροῦ
δέοντος παρελθόντων ἐτῶν ἀφ' οὗ ἡ Πρώτη Σύνοδος ἐν Νικαίᾳ
κατὰ Ἀρείου συνήχθη, μέχρι τῆς ἐν Κωνσταντινουπόλει γενομένης
τὸ τρίτον Ἕκτης Συνόδου, καὶ ὀλίγον τι πρός, ὁμόφρονες καὶ
ὁμόγνωμοι πάντες ἡμῖν οἱ τῆς Ῥώμης ἐτύγχανον Πατριάρχαι· οὓς
καὶ ὀνομαστὶ καταλέγειν οὐκ ἀναγκαῖον. Εἶτα, οὐκ οἶδα ὅπως
εἰπεῖν — μᾶλλον δὲ οἶδα σαφῶς, ὅτι πρότερον μὲν διὰ τὸ
τὴν ἀναφορὰν ἐκκοπῆναι τοῦ Πάπα ἀπὸ τῶν ἄλλων τεσσάρων
Πατριαρχείων καὶ μὴ τοῖς ἱεροῖς Διπτύχοις ἐντάττεσθαι, ὡς
144V μήτε ἀπαντῆσαι τὸν| τηνικαῦτα Πάπαν Βιγίλλιον κατὰ τὴν
Πέμπτην Σύνοδον, μήτε μὴν ἀναθεματίζειν τὰ παρὰ τοῦ
Θεοδωρήτου κατὰ τῆς ὀρθῆς πίστεως καὶ τῶν Δώδεκα γραφέντα
κεφαλαίων τοῦ Ἁγίου Κυρίλλου, ἀπετμήθητε* ἔκτοτε καὶ μέχρι
τοῦ νῦν τῶν τεσσάρων Ἐκκλησιῶν.

Ἔτι δὲ καὶ μετὰ τοῦτο καλῶς ὑμῶν ὁδευόντων, καὶ
πλὴν τούτου ἑδραίως καὶ ἀκλονήτως πρὸς τὰ λοιπὰ τῆς πίστεως
ἑσταμένων, τὸν ὁσιώτατον Γερμανὸν ὁ παμμίαρος Λέων ὁ
Ἴσαυρος τῆς καθ' ἡμᾶς ἁγιωτάτης Ἐκκλησίας μεθ' ὕβρεως
ἐξέωσεν, ὡς μὴ συνευδοκοῦντα μηδὲ συνηγοροῦντα τούτῳ

---

* καὶ τῶν δώδεκα κεφαλαίων [B] γραφέντα [A] τοῦ Ἁγίου Κυρίλλου ἀπετμήθητε cod.

πρὸς τὴν τῶν ἁγίων εἰκόνων καθαίρεσιν, Ἀναστάσιόν ⟨τε⟩ τὸν σκαιὸν ἀντ' αὐτοῦ κεχειροτόνηκε Πατριάρχην· οὓς καὶ ἀμφοτέρους ὁ τηνικαῦτα πρόεδρος Ῥώμης Γρηγόριος καλῶς καὶ δικαίως ἀνεθεμάτισεν.

Ἐπεὶ δὲ χρόνους ἱκανοὺς ἡ τῶν Εἰκονομάχων ἐπεκράτησεν αἵρεσις, ἔμεινεν ἡ Ῥώμη ἀσύμφωνος ἐπὶ τοσοῦτον, τῷ ἰδίῳ καὶ μετὰ τὴν τῶν Εἰκονομάχων κατάλυσιν στοιχοῦσα θελήματι. Εἶτ' αὖθις οἱ Οὐάνδαλοι τῆς Ῥώμης ἐπικρατή-σαντες, καὶ κυριαρχήσαντες ὑμῶν, πρὸς τὰ σφῶν ἔθη καὶ
145R ὑμᾶς μετεποίησαν, καὶ πάντα ὅσα νῦν ἐλαττώματα / ἔχετε διαφέροντα ὑμᾶς ἀφ' ἡμῶν κακῶς ἐξεπαίδευσαν. Εἶτα ἐν ἕξει γενόμενοι τῆς μαθήσεως ταύτης, ὑπερμαχεῖτε τῆς ψευδοῦς παραδόσεως ὡς ἀποστολικῶν καὶ θείων δογμάτων, διὰ τὴν ἐκ μακροῦ γενομένην συνήθειαν· τὸ γὰρ ἔθος, χρόνῳ παλαιωθέν, ὡς νόμος ὑμῖν ἐνομίσθη.

Ἀλλ' οὕτω μὲν ἀποδέδεικται πότε καὶ πῶς ἡμῶν ἀπετμήθητε. Τίνα δὲ καὶ ἃ παρελάβετε ἔκτοθεν εἰσίν, ἀναγκαῖον εἰπεῖν. α΄ Τὸ φάσκειν ὑμᾶς ἐν πρώτοις ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορεύεσθαι. β΄ Τὸ διὰ τῶν ἀζύμων τὴν μυστικὴν καὶ ἀναίμακτον θυσίαν ἐπιτελεῖν. γ΄ Τὸ μὴ Θεοτόκον τὴν τοῦ Θεοῦ Λόγου Μητέρα καλεῖν, ἀλλ' ἁπλῶς οὕτως Ἁγίαν Μαρίαν κατονομάζειν. Ἃ καὶ ὡς χείρονα ὄντα τῶν ἄλλων, καὶ οὐκ εἰς σχίσμα μόνον ὡς τ' ἄλλα καὶ διαίρεσιν ἄγοντα, ἀλλ' εἰς αἵρεσιν προφανῆ, μακρὰν ἀπ' ἀλλήλων ἡμᾶς πεποιήκασιν. Ἦ* γὰρ ἂν συν-έβημεν πρὸς τὴν ἕνωσιν πάλιν καλῶς ἐξ ἧς κακῶς δι-

---

* ἢ cod.

ηρέθημεν, εἰ μὴ τὰ τρία ταῦτα κώλυμα ἦν, ὥς τι μεσότειχον καὶ φραγμός. Τὰ γὰρ ἄλλα καὶ παρεδράμομεν ἂν τυχὸν καὶ παρεβλεψάμεθα, ἵνα μὴ τὸ πᾶν ἀκριβῶς ζητοῦντες, τὸ πᾶν
145V ἀπολέσωμεν· ἀπληστίᾳ γάρ, φησὶ ἡ παροιμία, |μερὶς οὐδεμία.

Τίνα δὲ ταῦτά εἰσιν; δ΄ Τὸ νηστεύειν ἀθέσμως ὡς Ἰουδαῖοι τὰ Σάββατα, τῶν ἀποστολικῶν κανόνων τοῦτο ἀπαγορευόντων. ε΄ Τὸ ἐσθίειν πνικτὰ καὶ θνησιμαῖα καὶ θηριάλωτα καὶ τὸ αἷμα, σαφῶς καὶ τῆς Παλαιᾶς καὶ τῆς Καινῆς τὴν τούτων ἀποχὴν νομοθετούσης ἐπιμελῶς. ϛ΄ Τὸ μὴ τὸ Ἅγιον Βάπτισμα κατὰ τὴν παράδοσιν τῶν Ἁγίων Ἀποστόλων καὶ τῶν θείων Πατέρων τελεῖν. ζ΄ Τὸ μὴ τὴν Ἁγίαν Τεσσαρακοστὴν νηστεύειν ὥσπερ καὶ πᾶσαι αἱ χῶραι, αἱ ὑπὸ τὴν ἐξουσίαν τῶν τεσσάρων Πατριαρχείων ὑπάρχουσαι. η΄ Τὸ μὴ ψάλλειν τὸ Ἀλληλούϊα τὸν ὅλον τῆς νηστείας καιρὸν ἄχρι τοῦ Πάσχα. θ΄ Τὸ τοὺς ἱερεῖς ὑμῶν ποικιλόχροον ἐκ βλαττίων στολὴν ἐνδιδύσκεσθαι καὶ οὕτως ἱερουργεῖν· καίτοι τοῦ Ἁγίου Σιλβέστρου ἀπὸ ἐρίων λέγοντος ἔχειν στολάς. ι΄ Τὸ τοὺς αὐτοὺς ἱερεῖς αἵμασι πολεμίων καταχραίνειν τὰς χεῖρας, τοῦ Κυρίου εἰπόντος "εἰρηνεύετε ἐν ἑαυτοῖς καὶ πᾶσιν"*. ια΄ Τὸ ἀπολύειν αὐτοὺς τὰς ἐκ νόμου συναφθείσας γυναῖκας αὐτοῖς, ὁπηνίκα διάκονος ἢ ἱερεὺς χειροτονηθείη, καίτοι τῶν ἱερῶν Κανόνων κατὰ στόμα τούτοις προσυπαντώντων, καὶ εἴ τις ἀποτίθεται, λεγόντων, τὴν ἑαυτοῦ γαμετὴν τῶν ἱερωμένων θεῷ, εἴτε χάριν εὐλαβείας εἴτε παρ᾽ ἑτέρων τινῶν τοῦτο προτρεπόμενος μὴ τῇ ἑαυτοῦ βουλόμενος συνοικεῖν γυναικί, καθαιρείσθω. ιβ΄ Τὸ

* Κατὰ Μάρκον 9,50 · πρὸς Ρωμαίους 12,18 · πρὸς Θεσσαλονικεῖς Α 5,13.

146R ἀτόπους ὑμᾶς ποιεῖν ἀνταλλαγὰς ἐν τοῖς γάμοις, καὶ ἕκαστον, τὴν ἑαυτοῦ θυγατέρα εἰς ἐπιγαμβρείας λόγον παρέχοντα, ἐκεῖθεν λαμβάνειν αὖθις τὴν ἐκείνου θυγατέρα. Καὶ τούτων ἕτερα πλείονα, εἰς τριάκοντα καὶ δύο κεφάλαια ποσούμενα ἀκριβῶς, ἵνα μὴ καθ᾿ ἕκαστον λέγω. Ἃ πάντα διὰ τὸ πλῆθος ἐάσαντες, ὡς εἴρηταί μοι καὶ πρόσθεν, περὶ μόνων τῶν τριῶν, εἰ δοκεῖ, κοινῇ συνδιασκεψώμεθα.

Τίνα οὖν ὑμῶν τὰ τοῦ ἀφηνιασμοῦ προβλήματα; Τίνες αἱ τῆς ἀποστασίας προφάσεις; Δεῖ, φησί, ἕπεσθαι τὴν θυγατέρα τῇ ταύτης μητρί· καὶ γὰρ καὶ τοῦτο ἤκουσα λεγόντων ὑμῶν διὰ τῶν ἐρχομένων ἐνταῦθα ἀρχιερέων ὑμῶν — μητέρα λέγοντες εἶναι τὴν καθ᾿ ὑμᾶς Παλαιὰν Ῥώμην.

Εἶτα, ὦ βέλτιστοι, πόθεν τοῦτο ἡμῖν ἀπαιτεῖτε, καὶ κατὰ ποῖον τὸν τρόπον; Ὅτι, φησί, πρώτη αὕτη ἐστὶ καὶ τῷ χρόνῳ καὶ τῇ τιμῇ τῆς τε βασιλείας τῆς τε ἀρχιερωσύνης· καὶ πᾶν τὸ ἀρχαιότητι διαφέρον αἰδέσιμον. Εἰ γὰρ καὶ Νέα Ῥώμη ἡ Κωνσταντίνου, καταχρηστικῶς, ἀλλ᾿ οὐ κυρίως ἔχει τὴν κλῆσιν· καὶ χρὴ πάντως τὴν θυγατέρα ὑπείκειν καὶ ὑποτάττεσθαι τῇ μητρί.

Πρὸς οὖν ταύτας ὑμῶν τὰς προτάσεις, τοῦτο ἀντερωτῶμεν
ὑμᾶς: τίνα τρόπον λέγετε τὰ πρεσβεῖα κεκτῆσθαι. Εἰ μὲν ὅσον
ἀπὸ τῆς ἀρχιερωσύνης καὶ ἀφ᾿ οὗ ὁ χριστιανισμὸς ἔσχεν ἀρχήν, οὐχ
146V ὑμᾶς λοιπὸν ἔχειν δεῖ τὰ πρωτεῖα, ἀλλὰ τοὺς* Ἱεροσολύμων· ἐκεῖ
γὰρ πρῶτον ὁ Μέγας Ἀρχιερεὺς Ἰάκωβον τὸν ἑαυτοῦ ἀδελφὸν
ἀρχιερέα κεχειροτόνηκεν ἐν ἔτει ἐννεακαιδεκάτῳ Τιβερίου. Εἶτα
ἐν ἔτει τρίτῳ Κλαυδίου, Πέτρος ὁ κορυφαῖος τῶν Ἀποστόλων
ἐν Ἀντιοχείᾳ ἐπισκοπήσας χρόνον ἕνα, τὸν Εὔοδόν τε μετὰ

---

* τὰ cod.

ταῦτα ἀντ' αὐτοῦ καταστήσας ἐπίσκοπον, καὶ εἰς Ῥώμην αὐτὸς παραγεγονὼς ἐν ἔτει τετάρτῳ Κλαυδίου τὸν ὑμέτερον θρόνον δι' ἑαυτοῦ πρῶτον ἐνίδρυσεν, εἶτα διὰ τοῦ Λίνου, εἶτα διὰ τοῦ Κλήμεντος.

Ἔπειτα Μάρκος ὁ εὐαγγελιστὴς ἐν ἔτει ἑβδόμῳ τοῦ Νέρωνος τὸν τῆς Ἀλεξανδρείας θρόνον καθίδρυσεν. Εἶτα τελευταῖος ὁ καθ' ἡμᾶς τῆς Κωνσταντινουπόλεως θρόνος παρὰ τοῦ ἐν ἁγίοις Μητροφάνους ἐνεθρονίσθη ἐν ἔτει δευτέρῳ Κωνσταντίνου τοῦ Μεγάλου.

Εἰ μὲν οὖν, ὡς εἴρηται, ἀπὸ τοῦ Χριστιανισμοῦ καὶ τῆς ἀρχιερωσύνης τὰ πρεσβεῖα ζητεῖτε, οὐχ ὑμῖν, ὡς ἀποδέδεικται, τοῦτο ἀνήκει, ἀλλ' οἷς ἠριθμήσαμεν καθ' εἱρμόν. Εἰ δὲ ὅσον ἀπὸ τῆς βασιλικῆς ἀρχῆς καὶ τῆς δυναστείας, οὐδὲ οὕτως ὑμῖν τὸ πρωτεῖον ἁρμόσει. Πρὸ ὑμῶν γὰρ Νῖνος βασιλεύει τῶν Ἀσσυρίων ἐν τῇ μεγάλῃ πόλει Νινευιτῶν. Ἔπειτα ἐν
147R Ἐκβατάνοις ἡ Μήδων ἐκράτησε δυναστεία ἀπὸ Ἀρβάκου τοῦ τὸν Σαρδανάπαλον βασιλέα Ἀσσυρίων καθελόντος. Εἶτα τὸ Χαλδαίων κράτος ἐν Βαβυλῶνι, ὧν Ναβουχοδονόσορ ἐβασίλευσεν. Ἔπειτα, μετὰ τὴν τούτων κατάλυσιν, Κῦρος τὴν Περσῶν ἡγεμονίαν ἐν Σούσοις ἐκτήσατο. Μετὰ δὲ τὴν ταύτης καθαίρεσιν, ἡ τῶν Μακεδόνων ἐκράτησε βασιλεία ὑπὸ Ἀλεξάνδρου τοῦ ἀνελόντος Δαρεῖον. Εἶτα ὑπὸ Ῥώμου τε καὶ Ῥωμύλου ἡ τῆς καθ' ὑμᾶς Παλαιᾶς Ῥώμης ἰσχὺς τὸ κράτος ἔσχε τῆς βασιλείας. Ἧς μετὰ τὴν κατάλυσιν ὁ ἀοίδιμος Κωνσταντῖνος καὶ μέγας ἐν βασιλεῦσιν εἰς τὴν καθ' ἡμᾶς νέαν Ῥώμην τὸ κράτος τῆς βασιλείας μετήνεγκεν. Ἑπτὰ γὰρ τόποι εἰσὶν ἐν ὑπεροχῇ καὶ δυναστείᾳ κοσμικῇ τῶν

λοιπῶν ἐξέχοντες, ἐφ' οὓς κατὰ καιροὺς τὴν τοῦ Κόσμου βασιλείαν
ἐστηρίχθαι ἔγνωμεν. Ἣν ἡ Ῥωμαίων ἕκτη τυγχάνουσα, τῆς
προμάμμης προμάμμην, ἵνα τι καὶ προσπαίξω ὑμῖν ἀστειότερον,
κέκτηται τὴν Νινευΐ. Καὶ χρὴ πάντως πρῶτον αὐτὴν ὑποτάσσεσθαι
Ἀσσυρίοις καὶ Μήδοις καὶ Βαβυλωνίοις καὶ Πέρσαις καὶ Μακεδόσιν,
καὶ τότε ἡμᾶς πρὸς ὑποταγὴν ἐκκαλεῖσθαι. Εἰ δ' οὐκ ἐκεῖνο, πῶς
τοῦτο, συνιδεῖν οὐκ ἔχω· ὃ γάρ τις οὐ δέδωκε, μηδ' ἐπιζητείτω
147v λαβεῖν. Ἢ ἀγνοεῖτε ὅτι ὑμεῖς μᾶλλον ἦτε ὑποτελεῖς ἡμῶν καὶ
ὑπόφοροι, ἀφ' οὗ ἡ βασιλεία μετετέθη ἐνταῦθα; Τίς δὲ ἡ
αἰτία τῆς ἀποστασίας; Ἡ τῶν ῥηθέντων εἰκονομάχων αἵρεσις
ἐπὶ Λέοντος τοῦ Ἰσαύρου. Διὰ ταύτην γὰρ ὁ πρόεδρος Ῥώμης
ἀφηνιάσας καὶ πρὸς τὸν Φράγγον σπονδὰς εἰρηνικὰς ποιησάμενος
τούς τε φόρους ἐκώλυσε καὶ Ἀναστάσιον καὶ τοὺς σὺν αὐτῷ
ἀνεθεμάτισεν.

Ἄλλως τε, εἰ καὶ δοίημεν τοῦτο ὑμῖν, καὶ μητέρα μὲν
τὴν ὑμετέραν καὶ παλαιάν, θυγατέρα δὲ τὴν ἡμετέραν καὶ
νεωτέραν αὐτῆς, οὐδὲ οὕτως τὸ πρόβλημα ὑμῶν ἕξει λόγον.
Οὔτε γὰρ πάσῃ μητρὶ ἕπεσθαι δεῖ, οὔτε πᾶν τὸ ἀρχαιότητι δια-
φέρον αἰδεσιμώτερον. Ἀλλὰ δεῖ μὲν ἕπεσθαι τῇ μητρὶ καὶ
ὑπείκειν αὐτῇ, ὅταν αὐτὴν κατ' ἴχνος βαίνουσαν βλέπῃ τοῦ ἀλη-
θινοῦ καὶ μόνου Πατρὸς καὶ Θεοῦ καὶ τῶν ἐξ αὐτοῦ ὡς αἰτίου
ὁμοουσίων καὶ ὁμογενῶν ὑποστάσεων — φημὶ δὴ τοῦ γεννήματος
καὶ προβλήματος, κἂν λίαν ἀγανακτῆτε τὸν Πατέρα μόνον ἀκού-
οντες αἴτιον καὶ προβολέα τοῦ Πνεύματος, — ἀποστρέφεσθαι
δὲ καὶ μισεῖν μὴ οὕτως ἔχουσαν. "Ὁ φιλῶν γάρ", φησι,
"πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος." *

* κατὰ Ματθαῖον 10, 37

Καὶ οὕτω μὲν ἀποδέδεικται διὰ ῥημάτων δεσποτικῶν ὅτι
οὐ πάντοτε, οὐδὲ πάσῃ μητρὶ ἐπιτήδει δεῖ. Εἰ δὲ καὶ τοῦτό με
148R ἀπαιτεῖς παραστῆσαι ὁ ἀντιλέγων, / πῶς οὐκ αἰδεσιμώτερα τῶν νέων
τὰ παλαιά, πρόσεχε ἀκριβῶς, καὶ ἀπαριθμήσω σοι μαρτυρίας ὀλίγας
ἀπὸ πολλῶν. Πρῶτον μὲν αὐτόθι ἐστὶν ἀπὸ τοῦ ῥητοῦ σαφὴς ἡ
ἀπόδειξις. Οὐ γὰρ εἶπεν αἰδεσιμώτερον, ἀλλ' ἁπλῶς οὕτως αἰδέσιμον.
Πολλὴ δέ τις διαφορὰ αἰδεσίμου καὶ αἰδεσιμωτέρου. Αἰδέσιμον μὲν
γάρ ἐστι καὶ τίμιον ἀληθῶς πᾶν τὸ ἀρχαιότητι διαφέρον, οὐ μὴν
καὶ αἰδεσιμώτερον. Ὥστε τοῦτο ἐπὶ μόνου τοῦ ὑπὸ Δανιὴλ
ὁραθέντος Παλαιοῦ τῶν Ἡμερῶν κυρίως λεχθήσεται καὶ προσφόρως,
ἐφ' ἡμῶν δὲ τῶν κτιστῶν ὅλως χώραν οὐχ ἕξει. Καὶ ὅτι ἀληθές
ἐστιν ὃ λέγω, αὐτίκα ῥηθήσεται.

Οἱ δαίμονες πρῶτοι πλασθέντες ἡμῶν, τοσοῦτο γεγόνασιν
ἀτιμότεροι νῦν τῶν ὕστερον κτισθέντων ἀνθρώπων, ὅσον οὐδὲ
ἔστιν εἰπεῖν· ἐῶ γάρ τι λέγειν περὶ ἀγγέλων, ὅτι καὶ αὐτοὶ
παρακύψαι ἐπιθυμοῦσιν εἰς τὰ ἐκ Θεοῦ δωρηθέντα ἡμῖν ἀγαθά. Μὴ
γάρ μοι τὸ "ἠλάττωσας αὐτὸν" παραγάγῃς "βραχύ τι παρ' ἀγγέλους",*
ἀλλ' ἐκεῖνο σκόπησον: τίς σύνθρονος κάθηται σήμερον τῷ Πατρὶ
δεξιόθεν, ἀγγέλου φύσις ἢ τῆς ἡμετέρας οὐσίας ἡ ἀπαρχή; Πρὸς
τίνας δέ φησιν ὁ Θεός "ἐγὼ εἶπα θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου
πάντες"**; Ποῦ δὲ γέγραπται τῆς γραφῆς κατ' εἰκόνα Θεοῦ καὶ
148V ὁμοίωσιν τοὺς ἀγγέλους γενέσθαι; "Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ /
πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν
σωτηρίαν"***;

Εἴπερ οὖν ἡ πρώτη μαρτυρία πιστή σοι δοκεῖ, ἀρίθμει καὶ
τὰς λοιπὰς ἀκολούθως. Αὐτίκα ὁ ἄνθρωπος τιμιώτερος ὢν τῶν

* πρὸς Ἑβραίους 2,7· cf. 2,9.
** Ψαλμοί LXXI (LXXXII), 6· cf. κατὰ Λουκᾶν 6,35.
*** πρὸς Ἑβραίους 1,14

ἄλλων κτισμάτων, ὕστερος πάντων ἐπλάσθη. Οὗτος δὲ πάλιν αὐτός, ἐκ
ψυχῆς νοερᾶς τε καὶ ἀσωμάτου ὑπάρχων καὶ σώματος ὑλικοῦ τε καὶ
αἰσθητοῦ, πρώτην μὲν τοῦ ἐλάττονος μέρους, λέγω δὴ τοῦ σώματος,
τὴν διάπλασιν ἔσχε, τελευταίαν δὲ τὴν ὕπαρξιν τῆς ψυχῆς, ἤτοι τοῦ
κρείττονος μέρους.

Αὐτὴν δὲ ταύτην τὴν τετράστοιχον ὕλην, πρώτην τῶν εἰδῶν
ὑπόστασιν προστάγματι θείῳ, καὶ τούτων γενομένην μητέρα τῷ λόγῳ
Κυρίου καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, τίς κρείττονα
τούτων εἴποι, νοῦ καὶ φρονήσεως μέτοχος ὤν; Τίς γὰρ ἂν ἦν
αὕτη, ἄμορφος καὶ ἀνείδεος οὖσα, μήπω μὲν τοῦ φωτὸς παραχθέντος,
ἐζοφωμένου δὲ τοῦ ἀέρος ὑπάρχοντος, καὶ τῆς γῆς ἀοράτου τῷ
πλήθει τῶν ὑδάτων καλυπτομένης, καὶ μήτε τὰ νηκτῶν ἢ πτηνῶν
γένη τῶν ὑδάτων ἐξαγαγόντων, μήτε τῶν χερσαίων ἐλθόντων εἰς
γένεσιν;

Ὅλως δὲ ἀκατασκεύαστος καὶ ἀκόσμητος οὖσα ἡ γῆ, μήπω
δεξαμένη ὃν ἄρτι κέκτηται κόσμον ἐκ τῆς ποικίλης τῶν δένδρων
καὶ τῶν ἀνθῶν καλλονῆς, εἰς τί ἂν συνετέλει ἡμῖν; Τί δ' ἂν
149R ἔοικεν ὁ οὐρανός, τὸ / πάντων στοιχείων ὑπερφερέστερον, μὴ
τὴν λαμπρότητα κεκτημένος τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν
ἄστρων; Ἐῶ ταῦτα. Τί δὲ ὁ τοῦ πρωτογόνου Κάϊν ὕστατος
Ἄβελ, καὶ αὖ τοῦ πρωτοτόκου Ἰσμαὴλ ἔσχατος Ἰσαάκ; Οὐχὶ πολλῷ
σεμνότερός τε καὶ τιμιώτερος; Τί δὲ ὁ ὑστερογενὴς Ἰακώβ, οὐχὶ
πρωτότοκος ἐκλήθη παρὰ Κυρίου καὶ ἠγαπημένος αὐτῷ, ὁ δὲ τούτου
πρεσβύτερος Ἠσαῦ μισητὸς ἐκρίθη καὶ ἔσχατος;

Τί δὲ ὁ Δαδ; Οὐχὶ ἔσχατος ὢν τῶν ἑπτὰ υἱῶν
Ἰεσσαὶ πρῶτος ἐν τῇ τοῦ ἐλαίου χρίσει ἐκρίθη παρὰ Θεῷ,

καὶ δοῦλος αὐτοῦ μεμαρτύρηται; "Εὗρον γάρ", φησι, "Δαβὶδ τὸν δοῦλόν μου, ἄνδρα κατὰ τὴν καρδίαν μου".* Αὐτῶν δὲ τῶν δώδεκα Πατριαρχῶν ἐκείνων τῶν παλαιῶν, καὶ τῶν ἐξ αὐτῶν λαμψάντων ἐσχάτως δώδεκα Ἀποστόλων, ποίους τινὰς μείζονας εἶναι λέγεις; Ἆρα οὐχὶ τοὺς κρείττονος τυχόντας ἀναπαύσεως καὶ τιμῆς καὶ ἀμέσου ἐγγύτητος περὶ Θεόν, διὰ τῆς ὑποσχέσεως τῶν δώδεκα θρόνων καθέδρας; Ἀδηλον πάντως ⟨τίνας⟩.

Τί δὲ ὁ Ματθίας; Οὐχ εἷς τῶν ἑβδομήκοντα ὤν, ἀντὶ τοῦ ἑνὸς τῶν δώδεκα, Ἰούδα τοῦ Ἰσκαριώτου, κατ' ἐκλογὴν προσεκρίθη τῶν Ἀποστόλων; Αὐτὸς δὲ ὁ μέγιστος Παῦλος, τῶν ἄλλων ἀπο-
149V στόλων ἔσχατος ὤν, μᾶλλον δὲ / καὶ διώκτης πικρὸς τῆς χριστιανῶν πίστεως, πῶς πρῶτος γέγονε πάντων καὶ σκεῦος ἐκλογῆς ὠνομάσθη παρὰ Θεοῦ;

Εἰ δὲ ταῦθ' οὕτως ἔχει καὶ κατὰ τοῦτον τὸν τρόπον, καὶ οὐδεὶς ἀμφιβάλλει μὴ προφανῶς φιλόνεικος ὤν, μηδὲ τὴν ἀλήθειαν ἀγαπῶν, ἀλλὰ τὴν ἑαυτοῦ δόξαν στῆσαι ζητῶν ἐκ πολλῆς ὑψηλοφροσύνης καὶ τύφου κενοῦ, φέρε καὶ τ' ἄλλα προσθήσωμεν καθεξῆς, ὅσα γινώσκομεν ὅτι τίμια ὄντα τὸ παλαιόν, ἀτιμότερά πως γεγόνασι τῇ τῶν νέων ἐπεισαγωγῇ.

Καλὴ μὲν γὰρ καὶ ἡ σκηνὴ τοῦ Μαρτυρίου ἣν Θεὸς παρέδειξε καὶ Μωσῆς ἐπήξατο καὶ Βεσελεὴλ ἐτελείωσε· καλλίων δὲ καὶ περιφανέστερος ὁ παρὰ Σολομῶντος οἰκοδομηθεὶς τῷ Κυρίῳ Ναός· κρείττων δὲ πάλιν ἐκείνου ὁ νῦν ἐν Κωνσταντινουπόλει ἐπ' ὀνόματι τῆς Ἁγίας Σοφίας τιμώμενος, καὶ τοσοῦτον ὅσον σελήνης φανότερος ἥλιος — ὥσπερ δὴ πολλῷ μείζων καὶ ὑψηλοτέρα, μᾶλλον δὲ ἀσυγκρίτως ὑπερέχουσα, ἡ ἐν τούτῳ τελουμένη θυσία,

* Πράξεις 13,22. Cf. Ψαλμοὶ LXXXVIII, 21· Βασιλειῶν Α 13,14.

ἀναίμακτός τε καὶ λογική, τῆς δι' αἵματος ἀλόγων προσφερομέ-
νης ἐκεῖ. Ἢ τάχα γε προτιμήσειας καὶ τὸ Φάσκα τοῦ Πάσχα,
τὸ παλαιόν τε καὶ νομικὸν τοῦ νέου καὶ χριστωνύμου· καὶ τὸν
150R ἄλογον ἀμνὸν τοῦ λογικοῦ τε καὶ ἡμετέρου, τοῦ αἴροντος/κόσμου τὴν
ἁμαρτίαν, ὥς φησιν Ἰωάννης, ὁ πρόδρομος τοῦ Λόγου φωνή, ὅτι γε
ἄρσεν καὶ ἄμωμόν τε καὶ τέλειον καὶ ὅτι προτερεύει τῷ χρόνῳ·
ἢ καὶ τὸ χριόμενον ταῖς φλιαῖς αἷμα, τούτου τοῦ ἐκχυθέντος τῆς
θεοσώμου πλευρᾶς, καὶ κόσμον ὅλον καθάραντος καὶ καθαίροντος;
Ἔστι γὰρ ἴσως καὶ τοῦτο τῆς σῆς ἀπονοίας. Τιμᾷς γὰρ πάντα
τὰ παλαιά, κἂν Ἰουδαϊκὰ τυχὸν ἔστι· ὥσπερ δὴ καὶ τὸ ἄζυμον.
Θαυμάζω δέ, ὅτι μὴ καὶ τὴν περιτομήν.

Ὁ δ' αὐτός μοι δοκεῖς καὶ τὴν πεντάστοον κολυμβήθραν τοῦ
Σιλωάμ, ἐν ᾗ ἄγγελος Θεοῦ καταβαίνων καὶ ταράσσων τὸ ὕδωρ
ῥῶσιν τοῖς κάμνουσι σωματικὴν ἐχαρίζετο, ἁγιωτέραν νομίζειν τοῦ
Ἰορδάνου, ἐν ᾧ Χριστὸς βαπτισθεὶς ὁ τῶν ἀγγέλων δεσπότης, πᾶσαν
νόσον ἀφανίσας τῆς ἁμαρτίας, ῥῶσιν ψυχικὴν ἐδωρήσατο· ἢ καὶ
τῆς θείας κολυμβήθρας, τοῦ ἡμετέρου λέγω βαπτίσματος, ἐν ᾗ
δι' ὕδατός τε καὶ πνεύματος ἀναγεννώμενοι πάντες πιστοὶ ὑγείαν
ψυχικὴν προσλαμβάνομεν, τιμιωτέραν αὐτὴν ἀποφῆναι.

Ἔτι τε τὴν Ἰουδαίων συναγωγὴν ὡς ἀρχαιοτέραν προκρίνειν
τῆς καθολικῆς τῶν Χριστιανῶν Ἐκκλησίας, καὶ τῆς Καινῆς Χριστοῦ
150V Διαθήκης τὴν Παλαιάν τε καὶ νομικήν. Καὶ συνόλως εἰπεῖν, τὴν
σκιὰν τῆς εἰκόνος καὶ αὐτὴν τὴν εἰκόνα προτιμήσειν τῆς ἀληθείας,
εἴ γε τὰ παλαιὰ καὶ ἀρχαῖα τῶν προσφάτων καὶ νέων φιλονεικήσεις
προκρῖναι ἢ προτιμῆσαι θελήσεις. "Ἀλλ' οὐ δεδόξασται τὸ δεδο-
ξασμένον, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης"* ὡς Παῦλος ὁ μέγας
πρὸ ἡμῶν ἀπεφήνατο.

---

* Πρὸς Κορινθίους Β 3,10.

Καλὴ μὲν γε καὶ ἡ Ῥώμη, καὶ περιφανὴς καὶ περίβλεπτος. Καλὴ καὶ ἡ Ἱερουσαλήμ, καὶ καλῶν καλλίστη — πῶς γὰρ οὔ; — ἔνθα Χριστὸς ὁ Θεὸς ἡμῶν, σωματικῶς ὀφθεὶς, ὡς ἡ προφητεία, τοῖς ἀνθρώποις συνανεστράφη τὰ μεγάλα ἐκτελέσας τεράστια καὶ τὴν ἐμὴν σωτηρίαν κατεργασάμενος διὰ τῶν οἰκείων παθῶν καὶ τῆς ἀναστάσεως. Καλὴ καὶ ἡ Βαβυλὼν, καὶ ἡ μεγάλη πόλις Ἀντιοχέων, θεούπολις ἀκούειν ἀξιωθεῖσα. Οὔπω δὲ τιμιώτεραι αὗται τῆς ἡμετέρας. Τίνος ἕνεκεν; Ὅτι τὰ ἀρχαῖα παρῆλθεν, ἰδού, καὶ γέγονε τὰ πάντα καινά. Ἢ οὐχ ὁρᾷς ὡς πάσας τὰς κλήσεις τῶν πόλεων καὶ τιμὰς αὕτη κεκλήρωται μόνη; Νέα Ῥώμη, Νέα Ἱερουσαλήμ, μεγάλη Βαβυλών, πόλις Θεοῦ. Ἔχει γὰρ ἐν ἑαυτῇ τὴν ἀληθινὴν καὶ ἔμψυχον πόλιν, ἐν ᾗ κατῴκησεν σωματικῶς πᾶν τὸ πλήρωμα τῆς Θεότητος, τουτ᾽ ἔστι ἡ μία ὑπόστασις* τοῦ Υἱοῦ· ἧτινι καὶ κλῆρος ἀναφαίρετος ἡ πόλις ἐδόθη.

151R Ὧδε ἡ | μοναρχία τῆς Ῥώμης. Ὧδε ἡ δόξα Κυρίου ἡ ἐν Ἱερουσαλὴμ οὖσα πρίν. Ὧδε ὁ Ναός — μᾶλλον δέ, πολλοὶ ἀνθ᾽ ἑνός. Ὧδε ὁ ἀρχιερεύς. Ὧδε ἡ πνευματικὴ θυσία, καὶ λογικὴ καὶ ἀναίμακτος. Ἐνταῦθα οἱ τῆς προθέσεως ἄρτοι, οὐχὶ ἄζυμοί τε καὶ ἄναλοι, ἀλλ᾽ ἄρτιοι καὶ παντέλειοι, τὴν ἐξ ἡμῶν δι᾽ ἡμᾶς προσληφθεῖσαν ἔννουν καὶ ἔμψυχον σάρκα τοῦ Θεανθρώπου Χριστοῦ διὰ τοῦ ἅλατος καὶ τῆς προζύμης σημαίνοντες. Οὐ γὰρ ἄψυχόν τε καὶ ἄνουν ὁ Κύριος προσελάβετο σάρκα, ὡς Ἀρειός τε καὶ Ἀπολινάριος οἱ ματαιόφρονες ἐφλυάρουν. Οὐ γὰρ ἐξ ἡμισείας τὸ πρόσλημμα. Ἦν** γάρ, οὐδὲ τέλειος ἄνθρωπος λοιπὸν ὁ Χριστός, οὐδὲ ὅλος ὁ ἄνθρωπος σέσωστο, ἀλλ᾽ ἐξ ἡμισείας. Τὸ γὰρ ἀπρόσληπτον ἀθεράπευτον.

---

* ἡ μία ὑπόστασις: τῆς μιᾶς ὑποστάσεως cod.

** ἦν: ἢ cod.

Ἀλλὰ περὶ μὲν τούτων, ἅλις. Ἱκανῶς γὰρ ἀποδέδεικται, οἶμαι, ἡ τῶν ὑμετέρων πρεσβείων κατάλυσις ἢ ἀφαίρεσις ἢ κατάπτωσις, ἢ οὐκ οἶδ᾽ ὅ,τι καὶ χρὴ λέγειν ἁρμοδιώτερον. Ἤδη δὲ πρὸς αὐτὴν ἡμῖν πορευτέον τοῦ Ἁγίου Πνεύματος τὴν ἐκπόρευσιν, αὐτὴν προστησαμένοις τοῦ λόγου τὴν Ἁγίαν Τριάδα, τὸν Πατέρα φημι, καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, περὶ ὧν ὁ λόγος. Ὥστε τὸν μὲν εὐδοκεῖν, τὸν δὲ συνεργεῖν, τὸ δὲ ἐμποιεῖν — μᾶλλον δὲ μίαν ἐκ τῆς
151V μιᾶς/θεότητος γενέσθαι τὴν ἔλλαμψιν, ἑνικῶς διαιρουμένην καὶ συναπτομένην διαιρετῶς, ὃ καὶ παράδοξον.

Εἰ μὴ γὰρ παρ᾽ αὐτῆς τὰ κατ᾽ αὐτὴν ἐλλαμφθείη μὲν ποσῶς καὶ μετρίως καὶ ὅσον χωρητὸν ἀνθρωπίνῃ φύσει, παρὰ τίνος ἔχομεν μαθεῖν; Παρὰ γῆς; Οὐχ ὑφεστήκει. Παρὰ θαλάσσης; Οὐκ ἦν ὑγρά. Παρ᾽ οὐρανοῦ; Οὐκ ἦν ἐπαρθείς. Παρὰ ἡλίου καὶ σελήνης καὶ ἄστρων; Οὔπω δεδημιούργητο. Ἀλλὰ παρ᾽ αἰώνων; Πρὸ αἰώνων ὁ Θεός. Πῶς οὖν ἐξετάσομεν τὰ μὴ ἀεὶ ὄντα ὑπὲρ τοῦ ἀεὶ ὄντος; Μὴ ζήτει οὖν τὰ ἀνεύρετα ἄνθρωπε. Οὐ γὰρ εὑρήσεις. Τίνος ἕνεκεν; "Ὅτι Θεὸν νοῆσαι μὲν χαλεπόν, φράσαι δὲ ἀδύνατον"* Ἐπαινῶ γὰρ τὸν εἰπόντα κἂν ἀλλότριος ᾖ, κἂν τῆς ἡμετέρας αὐλῆς καὶ θύρας ἕστηκεν ἔξωθεν. Ταὐτὸν γὰρ ἔφησε προλαβών, ὅπερ ὁ ἡμέτερος ὕστερος θεολόγος μεγαλοφώνως ἐβρόντησε λέγων "Θεὸν οὐδεὶς ἑώρακε πώποτε".** Τὸ "οὐδεὶς ἑώρακεν" ἐνταῦθα ἀντὶ τοῦ "οὐδεὶς ἔγνω" εἴρηται. Εἶτα, ἵνα μὴ ἀπιστήσῃς αὐτῷ, τὸν Υἱόν σοι τοῦ Θεοῦ λέγοντα τοῦτο παρίστησιν· "ὁ μονογενής", φησιν, "Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, αὐτὸς ἐξηγήσατο".**

Πιστεύεις οὖν τῷ ἐνυποστάτῳ Λόγῳ καὶ Θεῷ; Εἰ πιστεύεις ἄκουσον αὐτοῦ λέγοντος ἀλλαχοῦ: "ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν
152R ἐγὼ πέμψω ὑμῖν, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ/Πατρὸς ἐκπο-

* Πλάτων, Τίμαιος, 28C
** κατὰ Ἰωάννην 1,18

ρεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ".* Εἰπὼν ὅτι παρὰ τοῦ
Πατρὸς ἐκπορεύεται, δείκνυσί σοι ὅτι ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ἔχει
τὴν ὕπαρξιν, ὅθεν δὴ καὶ αὐτός. Πνεῦμα δὲ εἰρηκὼς ἀληθείας, ἠνί-
ξατό σοι νοεῖν ὅτι οὐκ ἀλλότριον αὐτοῦ τὸ Πνεῦμά ἐστιν, ἀλλὰ καὶ
αὐτοῦ ἐστι καὶ τοῦ Πατρός· μία γὰρ τῶν τριῶν ἡ οὐσία. Πῶς δὲ
τούτου καὶ πῶς ἐκείνου; Ὅτι ἐκ τοῦ Πατρὸς μὲν ἐκπορεύεται,
ἐν τῷ Υἱῷ δὲ ἀναπέπαυται. Δεικτικὰ γὰρ ἀλλήλων τὰ τρία,
ἕτερον δι' ἑτέρου νοούμενον. Εἰ μὴ γὰρ υἱός, πῶς πατὴρ νοηθείη;
Τοῦ τινος γὰρ υἱοῦ καλεῖται πατήρ. Καὶ εἰ μὴ πατήρ, πῶς υἱός; Τοῦ
τινος γὰρ πατρὸς λέγεται υἱός. Οὕτως οὖν καὶ τὸ Ἅγιον Πνεῦμα,
ἐκ τοῦ Πατρὸς μὲν ἐκπορεύεται, διὰ τοῦ Υἱοῦ δὲ ἡμῖν φανεροῦται.
Καὶ αὖ ὁ Υἱὸς φανεροῦται διὰ τοῦ Πνεύματος. Συμπαρομαρτοῦσι γὰρ
ἀλλήλοις ἀεί τό τε γέννημα καὶ τὸ πρόβλημα, ἕτερον ἑτέρου μὴ χω-
ριζόμενον — ἀλλὰ μηδὲ τοῦ Πατρός. Ὥσπερ οὖν καὶ ὁ ἡμέτερος
λόγος γεννᾶται μὲν ἐκ τοῦ ἡμετέρου νοὸς ἀσωμάτως καὶ ἀπαθῶς,
ἐκφέρεται δὲ διὰ τοῦ ἡμετέρου πνεύματος, μήτε τοῦ γεννήσαντος αὐτὸν
νοῦ χωριζόμενος μήτε τοῦ ἐκφαίνοντος αὐτὸν πνεύματος· οὔτε γὰρ λόγος
ἐκφέρεται χωρὶς πνεύματος, οὔτε πνεῦμα ἐκτὸς λόγου, ἀλλ' ἀμφότερα δι'
152V ἀλλήλων. Ἀλλ' οὐδὲ ὁ νοῦς / ἑαυτὸν ἄλλως καθίστησι φανερὸν οἷός ἐστιν,
εἰ μὴ διὰ τοῦ ἐξ αὐτοῦ γεννωμένου λόγου καὶ τοῦ προϊόντος μὲν
ἐξ αὐτοῦ, τῷ λόγῳ δὲ συμπαρομαρτοῦντος πνεύματος. Ἔρχεται γὰρ εἰς
ἡμᾶς ὁ λόγος ἐκφερόμενος διὰ πνεύματος ἐκ τοῦ νοῦ, καὶ μένει ἀχώ-
ριστως ἐν τῷ νῷ οὐχ ἧττον ἢ πρότερον, ὅτε ἦν ἀνεξάγγελτος ἐν αὐτῷ·
καὶ τοὺς ἀκούοντας γὰρ πληροῖ, καὶ τοῦ λέγοντος οὐκ ἀφίσταται. Ὥσπερ
ἀμέλει καὶ ὁ τοῦ Θεοῦ Πατρὸς λόγος, καὶ πρὸς ἡμᾶς κατεληλύθεν διὰ
τοῦ συμπαρομαρτοῦντος αὐτῷ Πνεύματος ἐν τῇ μήτρᾳ τῆς
Παρθένου σκηνώσας, καὶ τοῦ κόλπου τοῦ πατρικοῦ οὐκ ἀπέστη· ἀχώ-

* κατὰ Ἰωάννην 15,26.

ριστος γὰρ ἡ Τριὰς κατ᾽ οὐσίαν, εἰ καὶ διαιρετὴ τοῖς προσώποις.

Ὅτι δὲ οὔτε Λόγος χωρὶς Πνεύματος οὔτε Πνεῦμα χωρὶς Λόγου
πέφυκε φανεροῦσθαι ἢ ἐνεργεῖν, πολλαχοῦ μὲν τῆς Γραφῆς ἔχομεν τοῦτο
δεῖξαι καὶ ἀλλαχοῦ, μάλιστα δὲ καὶ ἐκ τῶν τοῦ Γαβριὴλ πρὸς τὴν
Παρθένον ῥημάτων. Εἰπούσης γὰρ ἐκείνης ὅτι "πῶς ἔσται μοι τοῦτο,
ἐπεὶ ἄνδρα οὐ γινώσκω;"* ἀνθυπέφερεν ἐκεῖνος εὐθὺς "Πνεῦμα ἅγιον,"
φησιν, "ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι."**

Ὁρᾷς ὅτι οὐ μάτην ἔλεγον ὅτι ὅπου παρουσία Πνεύματος ἐκεῖ
καὶ Υἱοῦ καὶ Πατρός; Εἰπὼν γὰρ ὁ ἀρχάγγελος ὅτι "Πνεῦμα Ἅγιον καὶ
153R Δύναμις/ Ὑψίστου", τὰς τρεῖς ἐνέφηνεν*** ὑποστάσεις· Ὕψιστος ὁ Πατήρ,
Δύναμις ὁ Υἱός, καὶ Πνεῦμα τὸ Ἅγιον. Τοῦτο δὲ καὶ ὁ Σωτὴρ ὀλίγῳ
ὕστερον ὑπεσήμανεν ὅτε τῇ Σαμαρείτιδι διελέγετο, "ὁ Θεός," λέγων,
"Πνεῦμά ἐστι, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ
προσκυνεῖν."**** Τοῦτ᾽ ἔστιν, ἐν Πνεύματι καὶ Υἱῷ· οὗτος γὰρ ἡ ἀλήθεια·
δεῖ προσκυνεῖν τὸν Πατέρα, ἤγουν ἐν τρισὶν ὑποστάσεσιν. Θεὸν
γὰρ τὸν Πατέρα ἐκάλεσε κατὰ τὴν ἐκείνης ὑπόληψιν· διὰ δὲ τῆς ἀληθείας,
ἑαυτὸν παρεδήλωσε· διὰ δὲ τοῦ εἰπεῖν ὁ Θεὸς πνεῦμά ἐστι, τὴν ὅλην
ἁπλῶς οὐσίαν ἐσήμανε τῆς Θεότητος ὡς ἀσώματόν τε καὶ νοεράν.

Ταῦτα δέ, εἰ καὶ παρεκβατικώτερον, ἀλλ᾽ ὥστε πεῖσαι ὑμᾶς ἐκ
περιουσίας ὅτι ἀχώριστοι μέν εἰσιν αἱ τρεῖς ὑποστάσεις, ἐξ ἑνὸς δὲ
αἰτίου τοῦ Πατρὸς ὅ τε Υἱὸς καὶ τὸ Πνεῦμα κἂν ἄλλως καὶ ἄλλως —
ὁ μὲν γεννητῶς, τὸ δὲ ἐκπορευτῶς — τὴν ὕπαρξιν ἔχουσι. Πανταχοῦ
γὰρ τῆς Γραφῆς ἐκ τοῦ Πατρὸς εὑρίσκομεν ἀχωρίστως αὐτοῦ πεμπομέ-
νους τόν τε μονογενῆ Λόγον τόν τε Παράκλητον. Οἷα δὴ καὶ ἐπὶ
τοῦ Ἰορδάνου μὲν πρότερον, ὕστερον δὲ καὶ ἐν τῷ Θαβώρ. Ἀλλ᾽
ἐκεῖ μὲν ἐν εἴδει περιστερᾶς ἐκ τοῦ Πατρὸς ἀγαγὸν τὴν μαρτυρίαν
153V τοῦ ἀγαπητοῦ ἔμεινεν/ ἐπ᾽ αὐτόν, μηδὲ πρὶν αὐτοῦ ἀφιστάμενον·
ἐνταῦθα δὲ ὡς νεφέλη φωτεινὴ τὴν αὐτὴν μαρτυρίαν ἐκ τοῦ Πατρὸς

---

* κατὰ Λουκᾶν 1,34
** ibid. 1,35
**** κατὰ Ἰωάννην 4,24· cf. 4,23

*** ἐνέφηνεν: ἐνέφησεν cod.

καὶ πάλιν κομίζον. Πολλαχοῦ γὰρ ἡ νεφέλη τὸ Πνεῦμα τὸ Ἅγιον εἰκονίζει. "Πάντες γάρ", φησιν, "εἰς τὸν Μωϋσῆν ἐβαπτίσθησαν ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ"*. τύπος δὲ ταῦτα τοῦ ἡμετέρου βαπτίσματος, ὡς φησι ὁ Ἀπόστολος,** ἡ θάλασσα τοῦ ὕδατος, ἡ νεφέλη τοῦ Πνεύματος. Καὶ ἐν τῇ ἀναλήψει δέ, νεφέλη ὑπέλαβεν αὐτόν· ὥσπερ γὰρ ἐν Πνεύματι Ἁγίῳ κατῆλθεν ἐπὶ τῆς γῆς σκηνώσας ἐν τῇ Παρθένῳ κατὰ τὸ τοῦ Γαβριὴλ εὐαγγέλιον, οὕτω διὰ Πνεύματος ἀνῆλθεν πρὸς τὸν Πατέρα, οὗ οὐκ ἐχωρίσθη ποτέ. Καὶ ἐν Αἰγύπτῳ δὲ φεύγων ὡς νήπιος ἐπὶ νεφέλης ὀχούμενος ἦν· "Ἰδοὺ γάρ", φησι, "Κύριος, ἥξει εἰς Αἴγυπτον ἐπὶ νεφέλης κούφης"***. Εἰ γὰρ καὶ ταῖς μητρικαῖς ἀγκάλαις καὶ τοῦ μνήστορος Ἰωσὴφ ἐπωκεῖτο, ἀλλὰ τῷ συμπαρομαρτοῦντι αὐτῷ Ἁγίῳ Πνεύματι ἐκουφίζετο.

Ἔτι καὶ ἐν τῇ δευτέρᾳ αὐτοῦ Παρουσίᾳ οὐ μόνον αὐτὸς διὰ νεφέλης ἀπ' οὐρανοῦ καταβήσεται, ἀλλὰ καὶ οἱ δίκαιοι αὐτῷ ἐν νεφέλαις ὑπαντήσουσι τότε, ἤτοι ταῖς δυνάμεσι καὶ ἐνεργείαις τοῦ Πνεύματος, ἵνα μηδὲ τῆς κρίσεως ἄμοιρον εἴη τὸ Πνεῦμα. Εἰ γὰρ
154R καὶ γέγραπται ὅτι ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ, ἀλλὰ καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα, οὐκ ἐκτός εἰσι ταύτης· ὅτι ὁ μὲν συνευδοκῶν φαίνεται, τὸ δὲ συνεργοῦν. Λέγει γὰρ ὁ Δαδ "ἐξαποστελεῖς τὸ Πνεῦμά σου καὶ κτισθήσονται· καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς"[9].

Ὁρᾶτε ὡς πανταχοῦ τῆς Γραφῆς, τὸ Πνεῦμα μᾶλλον εὑρίσκεται πεμπόμενον παρὰ τὸν Υἱόν — οὐχ ὡς δοῦλον, ἄπαγε, ἀλλ' ὡς ὁμότιμον καὶ ὁμόδοξον, — καὶ οὐχὶ ὁ Υἱὸς πρὸς τὸ Πνεῦμα; Εὑρίσκομεν καὶ τὸν Υἱὸν ἀποστελλόμενον παρὰ τοῦ Πατρὸς καὶ μόνον καὶ σὺν τῷ Πνεύματι. Ὡς τὸ "ἀπέστειλε τὸν Λόγον αὐτοῦ καὶ ἰάσατο αὐτούς"[99] καὶ "ἐξαποστελεῖ τὸν Λόγον αὐτοῦ καὶ τήξει αὐτά· πνεύσει τὸ Πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα"[999]. Καὶ πάλιν ὁ Παῦλος περὶ τῆς πρώτης Χριστοῦ Παρουσίας "ὅτε δὲ ἔφθασε," φησι, "τὸ πλήρωμα τῶν καιρῶν, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ γενόμενον ἐκ

---

* Πρὸς Κορινθίους Α 10,2.
** Cf. ibid. 10,6.
*** Ἡσαΐας 19,1.
9 Ψαλμοί 103(104),30.
99 ibid. 106(107),20.
999 ibid. 147,7(18).

γυναικός!"*

Τίνος ἕνεκεν λέγω ταῦτα; Ὅτι ἀμφοτέρων αἴτιος ὁ Πατήρ, τοῦ μὲν γὰρ γεννήτωρ, τοῦ δὲ προβολεύς — καὶ οὐχ, ὡς ὑμεῖς πλανᾶσθε, καὶ ἐκ τοῦ Υἱοῦ ‹τὸ Πνεῦμα› ἐκπορεύεται. Ἦ γὰρ ἄν, ἐπέμπετο καὶ παρὰ τοῦ Υἱοῦ πρὸ τὸν Πατέρα ὡς ἐξ ἀμφοτέρων ἔχον τὴν ὕπαρξιν. Ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν. Οὐδαμοῦ γὰρ ἐν ὅλῃ τῇ θείᾳ Γραφῇ εὑρεθήσεται τὸ Πνεῦμα ἐκπορευόμενον ἐκ τοῦ Υἱοῦ, ὥσπερ ἐκ τοῦ Πατρός. Ἢ ἀλλὰ δείξατε τοῦτο ἡμῖν, καὶ πειθόμεθα. Ἡμεῖς γὰρ ἤδη προκεκομί-
154V σαμεν ὑμῖν μαρτυρίας ἐκ τῆς Γραφῆς, καὶ ἔτι παραγάγωμεν πλείους, / ὅτι καὶ τὸ Πνεῦμα καὶ ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς τὴν ὕπαρξιν ἔχουσιν, ἄλλως δὲ ὁ Υἱὸς καὶ ἄλλως τὸ Πνεῦμα· τοῦ μὲν γὰρ γέννησις ἄφραστος, τοῦ δὲ πρόοδος ἄρρητος.

Δότε οὖν καὶ ὑμεῖς μίαν μαρτυρίαν ἀπὸ τῆς Γραφῆς ὅτι καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, ὥσπερ ἐκ τοῦ Πατρός, καὶ τὴν ἧτταν ὁμολογήσομεν. Εἰ δὲ μὴ δύνασθε, ὥσπερ οὐ δεδύνασθε παραστῆσαι τοῦτο — πόθεν; οὐδὲ γὰρ γέγραπται ἐν ὅλῃ τῇ θείᾳ Γραφῇ — παραχωρήσατε τὴν νίκην ἡμῖν· μᾶλλον δὲ τῷ Θεῷ δότε ταύτην, ὁμόφρονες καὶ ὁμόδοξοι γεγονότες ἡμῖν, ὡς τὸ πρίν, καὶ ὁμοφώνως τὴν Τριάδα δοξάζοντες. Εἴ γε μὴ ὡς περικαθάρματα οἴκου ἢ περίψημα χύτρας ἡγεῖσθε ἡμᾶς, ὥσπερ καὶ τὰ λοιπὰ πάντα ἔθνη λογίζεσθε — μᾶλλον δὲ καὶ βδελύττεσθαι. Ἀλλὰ τίνος ἕνεκεν κατεπαίρεσθε πάντων ἀμέτρῳ θράσει καὶ φρυάγματι σοβαρῷ μέγα φρονοῦντες ἐπὶ σώματος ῥώμῃ καὶ σοφίᾳ ψυχῆς καὶ συνέσει καὶ πᾶσι κατορθώμασι ἄλλοις; Τί γάρ, οὐκ ἐκ τοῦ αὐτοῦ πηλοῦ τε καὶ κράματος ἦτε, ἐξ οὗπερ καὶ ἡμεῖς; Οὐ τῆς αὐτῆς φύσεως, καὶ τῶν αὐτῆς μετεσχηκότες παθῶν; Οὐχὶ γῆ καὶ σποδὸς καὶ τὸ ὅλον φθορὰ ὡς ἡμεῖς; Τί οὖν ἐστε ὑψηλοί τε καὶ ὑπὲρ ἄνθρωπον, οἷον Νεβρὼδ ἐκεῖνος ἢ τὸ τοῦ Ἐνὰκ γένος, ἐγκαυχώ-
155R μενοι ματαίως καὶ ἀλαζονικῶς ἐπαιρόμενοι / οὐχ ἡμῶν μόνον,

* Πρὸς Γαλάτας 4,4.

ἀλλὰ καὶ αὐτῶν τῶν ἁγίων Πατέρων, ὡς καὶ αὐτῶν κρεῖττον ἐπιστάμενοι τὰς γραφάς, καὶ τῇ πολιτείᾳ ὑπερέχοντες καὶ τῷ βίῳ; "Καὶ τίς ἔγνω νοῦν Κυρίου"*, φησὶν ὁ Ἰώβ, "εἰς δὲ τὰ ἔσχατα τῆς σοφίας αὐτοῦ τίς ἀφίκετο;"**

"Μὴ καυχάσθω οὖν ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, μηδὲ ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, μηδὲ ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ"***· ὅτι "πᾶσα σοφία παρὰ Κυρίου καὶ μετ' αὐτοῦ ἐστιν εἰς τὸν αἰῶνα."**** "Ἡ γὰρ ἄμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ καὶ ἡμέρας αἰῶνος οὐδεὶς ἐξαριθμήσει, ἀλλ' οὐδὲ ὕψος οὐρανοῦ ἢ πλάτος γῆς ἢ ἄβυσσον, πῶς σοφίαν τις ἐξιχνεύσει;"9 "Ῥίζα γὰρ σοφίας τίνι ἀπεκαλύφθη, καὶ τὰ πανουργεύματα αὐτῆς τίς ἔγνω; Εἷς ἐστι σοφός, καὶ εἷς ἐστι φοβερὸς σφόδρα,"99 καὶ εἷς ἐστι πλούσιος. Τίς οὗτος; "Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ,"999 "ὁ πτωχίζων καὶ πλουτίζων καὶ ταπεινῶν καὶ ὑψῶν."‡ Ὃν καὶ ὑμεῖς φοβηθέντες, μὴ πάντα νικᾶν σπουδάζετε, ἀλλ' ἔστιν ἃ καὶ ἡττᾶσθαι καλῶς ἀνέχεσθε. Ἡμεῖς γὰρ ταῦτα λέγοντες καὶ ἰσχυρῶς ἐνιστάμενοι οὐ νικῆσαι φιλονεικοῦμεν, ἀλλὰ προλαβεῖν ἀδελφούς, ὧν τῷ χαρίσματι σπαρασσόμεθα.

{Στάσις πρώτη}

---

* Ἠσαΐας 40,13

** Ἰώβ 11,7. Cf. 28,21. Σοφία Σειράχ 1,3·6

*** Βασιλειῶν Α 2,10

**** Σοφία Σειράχ 1,1

9 ibid. 1,2-3

99 ibid. 1,6-8

999 Ψαλμοί 23(24),8

‡ Βασιλειῶν Α 2,7

Τί οὖν, φησίν, οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον
ἐκπορεύεται; Μὴ γένοιτο ἡμῖν τοῦτο εἰπεῖν· ἐκ τοῦ Πατρὸς γὰρ
155V μόνου λέγομεν ἐκπορεύεσθαι. / Εἰ δὲ ὑμεῖς κρεῖττον ἡμῶν ἴσως
ἐπίστασθε τὰς γραφάς, δείξατε ποῦ γέγραπται, καὶ πειθόμεθα.
Γέγραπται, φησίν, ὅτι "ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν"* καὶ "πάντα
ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν"** καὶ "ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ
ἐν ἐμοί".*** Εἰ οὖν ἕτερος ἐν ἑτέρῳ ἐστίν, καὶ ἓν οἱ δύο εἰσίν,
καὶ ὅσα ὁ Πατὴρ ἔχει ταῦτα καὶ ὁ Υἱός, ἕν ἐστι πάντως
τῶν ὧν κέκτηται οὐσιωδῶς ὁ Πατὴρ καὶ ἡ τοῦ Ἁγίου ἐκπόρευσις
Πνεύματος. Καὶ εἰ ἕν ἐστιν ἀληθῶς, ὥσπερ καὶ ἔστιν, ἔχει ἄρα
ταύτην καὶ ὁ Υἱός.

(add. man. recent. in marg.: ὡς μιαρὸν καὶ σεσαθρωμένον καὶ εὐκατάβλητον τὸ ἐφεύρεμά σου, ὦ λατινόφρων.)

Τοῦτο ὑμᾶς, ἀδελφοί, τὸ ἄρα τῇ αἰωνίῳ ἀρᾷ ὑποδίκους
ὑμᾶς καταστήσει, ὅτι λογομαχεῖν ἐθελοκάκως αἱρεῖσθε, μὴ δοκι-
μάζοντες τὸν νοῦν τῆς γραφῆς, μηδὲ θέλοντες πεισθῆναι τῇ
ἀληθείᾳ. Εἰ γὰρ διὰ τὸ εἰπεῖν τὸν Σωτῆρα "πάντα ὅσα ἔχει ὁ
Πατὴρ ἐμά ἐστιν", διὰ τοῦτο οἴεσθε καὶ τὴν ἐκπόρευσιν τοῦ
Πνεύματος κοινὴν εἶναι Πατρὸς καὶ Υἱοῦ ὡς ἓν τῶν πάντων
ὑπάρχουσαν ὧν κέκτηται ὁ Πατήρ, ἐχέτω λοιπὸν καὶ τὸ γεννᾶν
κοινὸν μετὰ τοῦ Πατρός, — ἓν γὰρ τῶν πάντων καὶ τοῦτο ὧν ἔχει
ὁ Πατήρ, — καὶ γεννάτω καὶ ὁ Υἱὸς ἄλλον Υἱόν. Ἐχέτω καὶ
τὸ ἀγέννητον τοῦ Πατρός, ὡς ἓν καὶ τοῦτο τῶν πάντων. Καὶ
τὸ μὲν αὐτοῦ γεννητὸν ἔστω, τὸ δὲ ἀγέννητον· ἵνα καὶ σύνθετός
τις Θεὸς ὑμῖν σεβασθείη, κατὰ τὸν ἐν Ἰὼβ λεγόμενον μυρμηκο-
λέοντα διὰ τροφῆς ἀπορίαν. Ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν.
Ἄτοπα γὰρ καὶ νοεῖτε καὶ λέγετε. Τὰ γὰρ ῥήματα ταῦτα τοῦ
156R Σωτῆρος ἡμῶν τὸ τῆς φύσεως οἰκεῖον ἐμφαίνουσι. Τῷ γὰρ εἰπεῖν
"ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν" τὸ ἓν καὶ ταὐτὸν ἐδήλωσε τῆς

---

* Κατὰ Ἰωάννην 10,30.
** ibid. 16,15.
*** ibid. 14,10; 11; 10,38; cf. 14,20; 17,21

οὐσίας. Καὶ τῷ εἰπεῖν "ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί", τὴν
κατ' οὐσίαν τῶν ὑποστάσεων ἐδήλωσεν ἕνωσιν. "Πάντα δὲ ὅσα ἔχει
ὁ Πατὴρ ἐμά εἰσιν" εἰπών, τὰ κοινὰ καὶ οὐσιώδη τῆς μιᾶς φύσεως
ἰδιώματα εἴρηκεν — οὐ μὴν τὰ ὑποστατικά. Ἴδια δὲ τῆς φύσεως
τὰ κοινὰ τῶν τριῶν, τὸ νοερόν, τὸ λογικόν, τὸ ἄϋλον, τὸ ἀσώ-
ματον, τὸ συνάναρχον, τὸ συναΐδιον, τὸ ἀόρατον, τὸ ἄφθαρτον,
τὸ ἀνώλεθρον, τὸ αὐθύπαρκτον καὶ αὐθυπόστατον, τὸ αὐτεξούσιον
καὶ αὐτοδέσποτον, τὸ αὐτοκρατορικόν, τὸ παντοκρατορικόν, τὸ
ταυτοδύναμον, τὸ παντοδύναμον, τὸ ὁμοούσιον, τὸ ὁμόθεον, τὸ
ὁμόθρονον, τὸ ὁμόδοξον, τὸ σοφόν, τὸ δημιουργικόν, τὸ συνεκτικόν,
τὸ προνοητικόν, τὸ ἀκατάληπτον, τὸ ἀπερίληπτον, τὸ ἀναλλοίωτον,
τὸ ἄποιον, τὸ ἄποσον, τὸ ἀνείδεον, τὸ ἀναφές.

Ταῦτα μέν, καὶ ὅσα τοιαῦτα, κοινά, ᾗ προείρηται, τῆς μιᾶς
τρισυποστάτου καὶ συναννάρχου θεότητος. Ὑποστατικὰ δὲ καὶ
ἴδια τῶν τριῶν προσώπων, τοῦ μὲν Πατρὸς ἡ ἀγεννησία καὶ ἡ
πατρότης, εἰ βούλει δέ, καὶ τὸ ἄναρχον καὶ ἀναίτιον· οὐκ ἔκ τινος
γάρ. Τοῦ δὲ Υἱοῦ ἡ γέννησις καὶ ἡ υἱότης, εἰ βούλει δέ, καὶ
156V <ἡ> ἀρχή· ἐκ τοῦ Πατρὸς γάρ· εἰ δὲ τὴν ἀπὸ χρόνων λάβοις/ἀρχήν,
καὶ ἄναρχος· ποιητὴς γὰρ χρόνων, οὐχ ὑπὸ χρόνον. Τοῦ Πνεύματος
δὲ ἡ πρόοδος καὶ ἐκπόρευσις, εἰ δὲ βούλει, καὶ ἡ ἁγιότης· οὐχ ὡς
οὐκ ὄντων ἁγίων τῶν ἄλλων δύο προσώπων — ἄπαγε — ἀλλ' ὡς
ἀποδιαστελλομένου τῶν ἄλλων πνευμάτων τῶν κτιστῶν διὰ τῆς
ἁγιαστικῆς κλήσεως, ἵν' ὅταν ἀκούσωμεν Πνεῦμα Ἅγιον ὁδηγηθῶ-
μεν διὰ τοῦ ἁγιασμοῦ πρὸς αὐτό, καὶ μὴ διὰ τῆς ὁμωνυμίας πρὸς
τὰ δοῦλα πνεύματα πλανηθῶμεν.

Τί οὖν, φησιν, οὐχὶ καὶ τοὺς ἀγγέλους ἁγίους καλοῦμεν,

καὶ τοὺς ἐναρέτους ἀνθρώπους πνευματικοὺς καὶ ὁμοίως ἁγίους; Ἄπαγε.

Κατὰ χάριν γὰρ καὶ κατὰ μετουσίαν λέγομεν ἔχειν αὐτοὺς τὸν ἁγιασμόν, οὐ μὴν κατὰ φύσιν ὥσπερ τὸ θεῖον· πολὺ δὲ τὸ μέσον, μᾶλλον δὲ ἀσύγκριτος ἡ ὑπεροχὴ φυσικῆς ἁγιότητος καὶ μεθεκτικῆς.

Ἔστω ταῦθ᾽ οὕτως ὡς λέγεις, φησί. Τί δ᾽ ἂν εἴπῃς εἰ καὶ τὸν Υἱὸν δείξομεν ἀποστέλλοντα τὸ Πνεῦμα; Ἐν γὰρ τῷ καιρῷ τοῦ πάθους αὐτοῦ τοῖς ἑαυτοῦ μαθηταῖς ἐπηγγείλατο λέγων "πέμψω ὑμῖν τὸν Παράκλητον"*· μετὰ δὲ τὴν ἀνάστασιν καὶ παρέσχεν τοῦτο αὐτοῖς διὰ τοῦ ἐμφυσήματος. Εἰ οὖν μὴ καὶ ἐξ αὐτοῦ ἐξεπορεύετο, οὐκ ἂν ἀπέστειλε τοῦτο ὡς ὁ Πατήρ. Πῶς γὰρ οὐκ ἀπέστειλεν καὶ ὁ Παράκλητος ὡς ὁ Υἱὸς καὶ ὁ Πατήρ;

Ὢ τῆς τῶν θείων ῥημάτων διαστροφῆς, ἀδελφοί· ὅτι τὰ προάγοντά τε καὶ ἐπαγόμενα παρατρέχοντες, μόνα τὰ συντείνοντα ὑμῖν εἰς ἀπολογίαν προβάλλεσθε. Ἐγὼ δὲ καὶ αὐτὰ τὰ ῥητὰ τοῦ
157R Εὐαγγελίου καὶ τὸν νοῦν αὐτῶν / πρὸς ὑμᾶς, ὡς ἔχουσι ἀληθείας, ἐκθήσομαι. Λέγει γὰρ ὁ Σωτὴρ τοῖς ἑαυτοῦ μαθηταῖς "συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς"**. Πρόσεχε ἀκριβῶς· ἐνταῦθα γὰρ οὔτε παρὰ τοῦ Πατρὸς οὔτε παρ᾽ ἑαυτοῦ εἶπεν ἀποσταλῆναι, ἀλλ᾽ αὐτεξουσίως καὶ αὐτοδεσπότως ἐλεύσεται εἶπεν τὸ Πνεῦμα, μήτε ἑαυτοῦ μήτε τοῦ Πατρὸς εἶναι Πνεῦμα εἰπών, ἀλλ᾽ οὕτως ἀπολύτως καὶ ἀσυνδέτως. Καὶ λοιπόν, κατὰ τὴν ὑμετέραν ὑπόληψιν, οὐδενὸς τῶν δύο ἐστὶ Πνεῦμα. Ἀλλ᾽ ἄπαγε τῆς ἀτοπίας· γέγραπται γὰρ πρὸ τούτου μικρὸν ἄνωθεν "ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς

* Κατὰ Ἰωάννην 15,26.

** ibid. 16,7.

ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ". *

Προσέχες ἐπιμελῶς τὴν συμπλοκὴν τῶν ῥημάτων. "Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος". τοῦτο θελήσεως καὶ ἐξουσίας. "Ὃν ἐγὼ πέμψω ὑμῖν". τοῦτο ἀποστολῆς ἀπὸ τοῦ Υἱοῦ — οὐχ ὡς δοῦλος ἀπὸ δεσπότου τὸ Πνεῦμα πέμπεται, ἀλλ' ὡς ὁμογενὴς ἐξ ὁμογενοῦς, ὡς γνήσιος ἀπὸ γνησίου, ὡς οἰκεῖος ἀπὸ οἰκείου. Προσθεὶς δὲ τούτοις ὅτι "παρὰ τοῦ Πατρός", τὴν ἐξ ἑαυτοῦ ἀποστολὴν τοῦ Παρακλήτου ἀπήρησεν, δεικνὺς ἡμῖν ἐκ τῆς λέξεως ταύτης, ὅτι κἂν ἐγὼ εἶπον ἀποστείλαι τὸ Πνεῦμα, ἀλλὰ παρὰ τοῦ Πατρὸς ἀποστέλλεται, ἀφ' οὗ καὶ τὴν
157V ὕπαρξιν συναΐδιον ἔσχεν ὥσπερ κἀγώ· ἐξ αὐτοῦ γὰρ ἐγὼ γεγέννημαι καὶ τὸ Πνεῦμα ἐκπεπόρευται· ἐκ τῆς τοῦ Πατρὸς γὰρ οὐσίας ἀμφότεροι, εἰ καὶ ἐν ἰδίαις ὑπάρχομεν ὑποστάσεσιν.

Εἶτα πάλιν εἰπὼν "τὸ Πνεῦμα τῆς ἀληθείας" εὐθὺς ἐπήγαγεν "ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται". Τί δηλῶν ἐκ τῆς λέξεως; Ὅτι εἰ καὶ ἐμόν ἐστι Πνεῦμα, ἐγὼ γάρ εἰμι ἡ ἀλήθεια, ἀλλ' ἐκ τοῦ Πατρὸς ἐκπορεύεται.

Τί δέ ἐστι τὸ ἐκπορεύεσθαι; Μὴ τὸ ἀποστέλλεσθαι νενόηκας τὴν λέξιν σημαίνειν; Οὐδαμῶς πάντως φήσεις. Ἀλλὰ τί; Τὸ ἐξ αὐτῆς τῆς τοῦ Πατρὸς οὐσίας ἔχειν τὴν ὕπαρξιν, ἐξ ἧσπερ δὴ καὶ ὁ Υἱὸς ἔσχε τὴν γέννησιν.

Εὖ γε τῆς ὑπολήψεως· εὖγε τῆς συμφωνίας. Οὕτως γὰρ ἔχει καὶ οὐχ ἑτέρως, καὶ τοῦτο λέγομεν καὶ ἡμεῖς.

Ἄρτι δεῖξόν μοι καὶ σὺ ἐν ἀγάπῃ ὁ ἀναλέγων, ποῦ γέγραπται οὕτως ῥητῶς εἴτε ἐν τῇ Παλαιᾷ εἴτε ἐν τῇ Καινῇ ὅτι ἐκπορεύεται τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ. Ἀλλὰ πολλὰ κάμοις πάντως, καὶ οὐχ εὑρήσεις.

Ὅτι μὲν δίδωσιν οἷς θέλει τὸ Πνεῦμα καὶ ὁ Υἱὸς ὡς καὶ ὁ Πατήρ, καὶ ἡμεῖς συνομολογοῦμεν. Ἀλλὰ καὶ τὸν Πατέρα διὰ τοῦ Υἱοῦ

* Κατὰ Ἰωάννην 15,26.

λέγομεν παρέχειν τὸ Πνεῦμα, καὶ τὸν Υἱὸν παρὰ τοῦ Πατρὸς παρέχειν αὐτό· καὶ αὐτὸ πάλιν οὐ δουλικῶς ἀποστέλλεσθαι, ἀλλ' αὐτοδεσποτῶς ἰέναι· ἐρχόμενον μὲν ὡς κύριον, πεμπόμενον δὲ ὡς οὐκ ἀνάθεον.

Ἀμέλει τοῦ Πατρὸς εἰρηκότος "ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα",* ὁ Υἱὸς ἀναστὰς ἐκ νεκρῶν
158R λέγει "λάβετε Πνεῦμα ἅγιον".** Ἀλλ' ἕτερον δόσις καὶ ἕτερον ἐκπόρευσις· τὸ μὲν γὰρ παροχὴν σημαίνει καὶ χορηγίαν, τὸ δὲ τὴν ἐξ αὐτῆς τῆς φύσεως ὕπαρξιν.

Τί οὖν κωλύει λέγειν ἡμᾶς, φησί, ὅτι ἐκπορεύεται τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ὥσπερ ἐκ τοῦ Πατρός; Εἰ γὰρ γεννητὸς μὲν ὁ Υἱός, ἀγέννητος δὲ ὁ Πατήρ, τὸ δὲ Πνεῦμα μήτε γεννητόν ἐστι μήτε ἀγέννητον ἀλλ' ἐκπορευτόν, μιᾶς δὲ οὐσίας τὰ τρία, οὐδὲν ἐναντίον φαμὲν εἰ ἐξ ἀμφοτέρων ἐκπορεύεσθαι λέγομεν τοῦτο τοῦ ἀγεννήτου τε καὶ τοῦ γεννητοῦ.

Ὢ τῆς παραφορᾶς, εἰ οὐδὲν ἐναντίον φατὲ τοῦτο λέγοντες.

Καὶ ποία, φησί, βλάβη ἐν τῷ δοξάζειν ἡμᾶς οὕτως τὸ Θεῖον, καὶ ἰσότιμον ποιεῖν τὸν Υἱὸν τῷ Πατρὶ διὰ τοῦ λέγειν ἐξ ἀμφοτέρων ἰέναι τὸ Πνεῦμα;

Τοῦτο ἰσοτιμία; Μὴ γένοιτο· ἀλλ' ἄντικρυς ἀτιμία καὶ ἀνισότης. Ἐν γὰρ τῷ δύο εἰσάγειν ἀρχὰς καὶ δύο αἰτίους καὶ προβολέας, ἔλαττον καὶ τὸ Πνεῦμα λεληθότως κατασκευάζεις, καὶ ποῦ θήσεις τὸ "ὁ Πατήρ μου μείζων μού ἐστιν",*** εἰ μὴ τὸν μὲν αἴτιον φήσεις τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως, τῶν δὲ τὰ πρόσωπα αἰτιατά, κἂν αὐθύπαρκτον ἐξ αὐτοῦ τὴν γένεσιν ἔχοντα καὶ συνυπαρκτον, ὥσπερ καὶ συναΐδιον καὶ συνάναρχον;

Ἡμεῖς μὲν γὰρ ὡς γέγραπται καὶ πιστεύομεν καὶ δοξάζομεν καὶ φρονοῦμεν· τὰ γὰρ γεγραμμένα λέγοντες, οὐχ ὑποπτεύομεν κίνδυνον. Ὑμεῖς δὲ εἰ ζητεῖτε μαθεῖν τίς ἡ βλάβη ἐκ τοῦ λέγειν

* Ἰωήλ 3,1 (cf. 3,2). Πράξεις 2,17 (cf. 2,18).
** Κατὰ Ἰωάννην 20,22.
*** ibid. 14,28

158V τὸ Πνεῦμα ἐκπορεύεσθαι καὶ ἐκ τοῦ Υἱοῦ, καὶ τοῦτο ἤδη ἐροῦμεν.

Πρῶτον μέν, ὅτι τοῖς γεγραμμένοις οὐκ ἐμμένομεν, οἷς ἔδει στοιχοῦντας ἡμᾶς ἀπηλλάχθαι πραγμάτων. Δεύτερον δέ, ὅτι παρακούομεν τοῦ προστάσσοντος Πατέρων ὅρια μὴ μεταίρειν. Τῶν γὰρ ἁγίων καὶ οἰκουμενικῶν ἓξ Συνόδων ἐκ τοῦ Πατρὸς μόνου δογματισάντων τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορεύεσθαι, ὑμεῖς, τὸ τοσοῦτον πλῆθος τῶν ἁγίων Πατέρων μὴ αἰδεσθέντες, μήτε μὴν τὸν Θεὸν φοβηθέντες, τὴν προσθήκην ταύτην κακομηχάνως εἰς τὸ Ἅγιον Σύμβολον προσηρμόσατε, Πατέρων ὅρια μετατιθέμενοι· ὧν ὁ ἀριθμὸς τρεῖς καὶ τριάκοντα ἑξακόσιοι πρὸς τοῖς χιλίοις. Καὶ τρίτον, ἵνα μὴ καὶ ἐκ τοῦ Υἱοῦ λέγοντες προϊέναι τὸ Πνεῦμα δύο ἀρχὰς εἰσαγάγωμεν καὶ δύο αἴτια δογματίσωμεν, ὅπερ ἀνοίκειον. Ἓν γὰρ αἴτιον ὑπὲρ αἰτίαν καὶ μόνον, καὶ μίαν ἀρχὴν ὑπεράρχιον ἐκ τῆς Γραφῆς παρειλήφαμεν, τὸν Πατέρα· ὥσπερ ἐξ ἡλίου φῶς καὶ ἀκτῖνα, ἐξ οὗ καὶ πρὸς ὃν ἀνάγονται τὰ ἑξῆς.

Μάλιστα μὲν οὖν, φησιν, ἀνοίκειον τοῦτό ἐστιν ὅπερ ὑμεῖς λέγετε. Εἰ γὰρ μία φύσις ἐστὶν ὁ ἐν Τριάδι Θεός, ὥσπερ καὶ ἔστι, οὐδὲν ἄτοπον λέγειν ἡμᾶς καὶ ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐκφέρεσθαι, ὥσπερ καὶ ἐκ τοῦ ἡλίου καὶ ἐκ τῆς ἀκτῖνος τὸ φῶς, ἵνα τῷ σῷ χρησώμεθα ὑποδείγματι. Μία γὰρ φύσις Πατρὸς καὶ Υἱοῦ, ὡς ἡλίου τε καὶ ἀκτῖνος· καὶ ὥσπερ τὸ φῶς καὶ ἀπὸ τοῦ ἡλίου καὶ ἀπὸ τῆς ἀκτῖνος ἐκπέμπεται, οὕτω δὴ καὶ
159R τὸ Πνεῦμα καὶ ἐκ τοῦ/ Υἱοῦ καὶ ἐκ τοῦ Πατρός.

Ἀλλ' οὐχ οὕτως, ὦ ἀδελφοί, ὡς εἰρήκατε ἡ ἀλήθεια, οὐχ οὕτως ἐστίν. Οὐδὲ γὰρ ἐκ τῆς ἀκτῖνος τὸ φῶς, ἀλλ' ἐξ ἡλίου, καὶ ἅμα ἀμφότερα· ἅμα γὰρ ἥλιος, ἅμα φῶς, ἅμα ἀκτίς. Πέμπεται δὲ πρὸς ἡμᾶς ἐξ ἡλίου διὰ τῆς ἀκτῖνος τὸ φῶς, καὶ ἡ ἀκτὶς διὰ τοῦ φωτός· συμπαρομαρτοῦσι γὰρ ἄλληλα. Ὥσπερ, ἀμέλει,

Καὶ ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς καὶ τὸ Πνεῦμα· ποτὲ μὲν γὰρ ὁ Υἱὸς διὰ τοῦ Πνεύματος λέγεται ἐπιλάμψαι ἐν τῇ μήτρᾳ τῆς Παρθένου ὡς φῶς δι' ἀκτῖνος (τοῦτο γὰρ τὸ "ἐπισκιάσει σοι"*)· ποτὲ δὲ τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ ἐπαυγάσαι τοῖς Ἀποστόλοις ἐν διαφόροις χαρίσμασιν, ὡς ἀκτῖνας ἀπὸ φωτός. Ἐκ τοῦ Πατρὸς δὲ ὅμως ἀμφότερα. Οὔτε οὖν ἀπὸ τῆς ἀκτῖνος τὸ φῶς, οὔτε τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ· ἀλλ' ἐκ τοῦ Πατρὸς ἀμφοτέρων ἡ γέννησις καὶ ἡ ἔκπεμψις.

Καὶ εἰ ἐκ μόνου τοῦ Πατρός, φησιν, ἀμφοτέρων ἡ ὕπαρξις, λεγέσθωσαν καὶ δύο υἱοί· καὶ τούτους πάλιν πῶς βούλει καλεῖσθαι, διδύμους ἢ τὸν μὲν πρεσβύτερον, τὸν δὲ νεώτερον;

Ὑμεῖς δὲ πῶς βούλεσθε καλεῖν ἡμᾶς τὸ ἐκ τοῦ Υἱοῦ ἐκπορευόμενον Πνεῦμα (ἵνα τὸ ὑμέτερον ἐρώτημα τῇ ὑμετέρᾳ προσαγάγω σοφίᾳ), ἀδελφὸν ἢ τοῦ μὲν Υἱοῦ Υἱόν, Υἱωνὸν δὲ τοῦ Πατρός— ἢ καὶ ἀμφότερα; Ἐνδέχεται γὰρ καθ' ὑμᾶς καὶ Πατέρα καλεῖν τὸν Υἱόν, ὡς προβολέα τοῦ Πνεύματος, καὶ πρεσβύτερον τοῦ Πνεύματος
159V ἀδελφόν, ὡς ἀμφοτέρους ἐκ τοῦ Πατρός. Τὸν δὲ / Πατέρα πῶς ἄρα καλέσομεν; Ἢ τοῦ μὲν Υἱοῦ μόνου πατέρα, τοῦ Πνεύματος δὲ καὶ πατέρα καὶ πάππον. Τῶν ληρημάτων. Μᾶλλον δὲ τῆς ἀφροσύνης καὶ τῆς ἀνοίας τῶν καινῶν θεολόγων. Ὁρᾶτε ὅπως ὑμῶν κακομαχεῖν ἐθελόντων τὰς στροφὰς διαφεύγομεν;

Πῶς οὖν, φησιν, ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεται, οὐχὶ δὲ καὶ ἐκ τοῦ Υἱοῦ, εἰ μήτε ἀγέννητόν ἐστιν ὡς ὁ Πατήρ, μήτε ὡς ὁ Υἱὸς γεννητόν, τῆς αὐτῆς δὲ φύσεως ὂν καὶ οὐσίας ὡς ἐκεῖνα.

Εἴπατε ὑμεῖς πῶς ἀγέννητος ὁ Πατήρ, πῶς δὲ γεννητὸς ὁ Υἱός, καὶ πῶς τὸ Πνεῦμα ἐκπορεύεται ἐκ τῶν δύο, κἀγὼ φυσιολογήσω τὴν ἐκπόρευσιν τοῦ Πνεύματος ἐκ μόνου τοῦ Πατρὸς γενομένην· καὶ παραπληκτίσομεν ἄμφω εἰς Θεοῦ μυστήρια παρακύ-

* Κατὰ Λουκᾶν 1,35.

πτοντες. Καὶ ταῦτα τίνες; Οἱ μηδὲ τὰ ἐν ποσὶν εἰδέναι δυνάμενοι, μηδὲ ψάμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ καὶ ἡμέρας αἰῶνος ἐξαριθμῆσαι, μὴ ὅτιγε Θεοῦ βάθεσιν ἐμβατεύειν καὶ λόγον ὑπέχειν τῆς οὕτως ἀρρήτου καὶ ὑπὲρ λόγον φύσεως.

Ἐπεὶ δὲ τὸ ἐν τοῖς συλλογισμοῖς καὶ ταῖς στροφαῖς ὑμῶν ἄμαχον ἔγνωμεν, ἴδωμεν ὑμῶν καὶ τὴν ἐκ τῶν θείων λογίων ἰσχύν, ἂν ἄρα κἀντεῦθεν πείθειν ἡμᾶς δόξησθε. Ἡμεῖς μὲν γὰρ ἐκ μεγάλων καὶ ὑψηλῶν τῶν φωνῶν τήν τε γέννησιν τοῦ Υἱοῦ καὶ τὴν ἐκπόρευσιν τοῦ Πνεύματος ἐκ μόνου τοῦ ἀγεννήτου καὶ ἀνάρχου καὶ ἀναι-
160R τίου Πατρὸς κατειλήφαμεν καὶ κηρύσσομεν. Τίνων/τούτων; Ἄκουσον τοῦ προφήτου Δαδ λέγοντος πρὸς τὸν Υἱὸν ἐκ προσώπου τοῦ Πατρὸς "ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε".* καὶ αὖθις "ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν".** Καὶ τοῦ Ἰὼβ καὶ τοῦ Ἰωὴλ λεγόντων περὶ τοῦ Πνεύματος, τοῦ μὲν "ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα"*** τοῦ δὲ "πνεῦμα θεῖον τὸ ποιῆσάν με, πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με".¶ Καὶ τοῦ Ἡσαΐου "Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με",¶¶ ὡς ἐκ τοῦ Υἱοῦ εἰρηκότος, καὶ "κατέβη", φησι, "πνεῦμα Κυρίου καὶ ὡδήγησεν αὐτούς".¶¶¶ Καὶ πάλιν ὁ Δαδ "τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν".‡ Στόμα δὲ καὶ πνεῦμα ὅταν ἀκούσῃς ἐπὶ Θεοῦ, θεοπρεπῶς ταῦτα νόει, μήτε τὸ στόμα μέρος, μήτε πνοὴν εἰς ἀέρα χεομένην καὶ λυομένην τὸ πνεῦμα.

Σκόπει δὲ ὡς πανταχοῦ διαφορὰν ποιεῖται ἡ Θεία Γραφὴ τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως. Τὴν μὲν γὰρ γέννησιν ἐκ γαστρὸς λέγει καὶ ἐκ καρδίας, τὴν δ' ἐκπόρευσιν διὰ στόματος προϊέναι, ὡς ἔξεστι τοῦτο μαθεῖν καὶ ἀπὸ τῶν τοῦ Ἀποστόλου πρὸς Ἐφεσίους ῥημάτων. Διεγείρων γὰρ αὐτοὺς πρὸς τὸν πνευματικὸν πόλεμον, καὶ τὴν τοῦ Θεοῦ

* Ψαλμοί 109(110),3.
** ibid. 44(45),1.
*** Ἰωήλ 3,1. (v. supra p.22 *)
¶ Ἰώβ 33,4 (cf. 32,8).
¶¶ Ἡσαΐας 61,1.
¶¶¶ ibid. 63,14.
‡ Ψαλμοί 32(33),6.

καὶ Πατρὸς πανοπλίαν ἀναλαβεῖν παραινῶν, "στῆτε," φησι, "περιζωσά-
μενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς
160V δικαιοσύνης καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου
τῆς εἰρήνης".* Οὐδεὶς δὲ ἀγνοεῖ πάντως ὅτι καὶ ἀλήθειαν καὶ δικαιο-
σύνην καὶ εἰρήνην τὸν Χριστὸν ὁ Παῦλος καλεῖ, παρ' αὐτοῦ τοῦτο μα-
θών.

Εἰ δέ τισι φίλον ἀλήθειαν μὲν τὸν Χριστόν, δικαιοσύνην δὲ τὸν Πατέρα, τὸ δὲ Πνεῦμα ἑτοιμασίαν τοῦ εὐαγγελίου τῆς εἰρήνης εἰπεῖν, ὡς διὰ τῶν τεραστίων καὶ τῶν θαυμάτων προετοιμάζον τοῖς Ἀποστόλοις τὸ κήρυγμα τοῦ τῆς εἰρήνης εὐαγγελίου ἤτοι Χριστοῦ, καὶ τοῦτο ὡς ἐχόμενον ἀληθείας ἀποδεχόμεθα.

Εἶτα ἐπὶ πᾶσι τούτοις προτρέπει ἅμα λαβεῖν τὸν τῆς πίστεως θυρεόν, καὶ τὴν περικεφαλαίαν τοῦ Σωτηρίου δέξασθαι, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ.

Ἐνταῦθα πάλιν περικεφαλαίαν μὲν τὸν Πατέρα νοοῦμεν ("κεφαλὴ γάρ," φησι, "τοῦ Χριστοῦ ὁ Θεός"**)· Σωτήριον δὲ τὸν Σωτῆρα Χριστόν. Ὅτι δὲ Σωτήριον ὁ Υἱός, οὐ μόνον ὁ Παῦλος (ἐν οἷς λέγει "ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος",*** ἢ ὅταν λέγῃ "ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα Χριστόν"†) τοῦτο ἐδήλωσεν, ἀλλὰ καὶ πᾶσα ἡ Παλαιὰ περὶ αὐτοῦ τοῦτο λέγει· καὶ αὐτὸς ὁ ἐναγκαλισάμενος αὐτὸν Συμεὼν ὁ πρεσβύτης "νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα" πρὸς τὸν Πατέρα εἰπὼν "κατὰ τὸ ῥῆμά σου",†† τοῦτ' ἔστι κατὰ τὴν διὰ τοῦ Πνεύματός σου ὑπόσχεσιν· "ἦν γὰρ κεχρηματισμένος," φησιν, "ἐκ Πνεύματος Ἁγίου μὴ ἀποθανεῖν ἕως ἂν ἴδῃ τὸν Χριστὸν Κυρίου"†††, ὃν Σωτήριον οὗτος εἰκότως καλεῖ.

161R Ταῦτα δὲ οὐ μάτην οὐδὲ εἰκῇ πολυπραγμονοῦμεν, ἀλλ' ὥστε
δεῖξαι ὑμῖν εἶναι διαφορὰν καὶ ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Καινῇ

---

* Πρὸς Ἐφεσίους 6,14.
** Πρὸς Κορινθίους Α 11,3.
*** Πρὸς Τίτον 2,11.
† Πρὸς Φιλιππησίους 3,20.
†† Κατὰ Λουκᾶν 2,29.
††† ibid. 2,26.

ἐκπορεύσεως καὶ γεννήσεως. Ἰδοὺ γὰρ ἔγνωτε σαφῶς, εἴ γε βού-
λεσθε, τὴν περὶ τοῦ ζητήματος τούτου συμφωνίαν τῶν Διαθηκῶν.
Τὸ γὰρ "ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου" ἐκ τοῦ Πατρὸς εἴρηται,
οὐκ ἐκ τοῦ Υἱοῦ. Καὶ τὸ "πνοὴ παντοκράτορος, ἡ διδάσκουσά
με" τοῦ Πατρός ἐστιν, οὐ τοῦ Υἱοῦ. Καὶ τὸ "Πνεῦμα θεῖον, τὸ
ποιῆσάν με", καὶ "Πνεῦμα Κυρίου ἐπ' ἐμέ", καὶ "κατέβη Πνεῦμα
Κυρίου", τοῦ Πατρὸς ὁμολογουμένως καὶ ταῦτα, οὐ τοῦ Υἱοῦ.
Καὶ ὁ Συμεὼν δὲ καὶ ὁ Παῦλος ῥῆμα τὸ Πνεῦμα καλέσαντες,
ἐκ στόματος τοῦ Πατρὸς ἐκπορεύεσθαι δηλοῦσιν, οὐ τοῦ Υἱοῦ.
Ὃ γὰρ ὁ Ἰὼβ πνοὴν λέγει, καὶ ἔκχυσιν Ἰωήλ, καὶ ἔλαιον ἀγαλλι-
άσεως* ὁ Δαδ, καὶ χρίσμα ὁ Ἡσαΐας, τοῦτο Συμεών τε καὶ
Παῦλος, ὡς ἐκ στόματος τοῦ Πατρὸς ἐκχεόμενον, ῥῆμα εἰκότως
ἐκάλεσαν, τῷ θείῳ Δαδ συμφθεγγόμενοι λέγοντι ἐστερεῶσθαι τὴν
δύναμιν πᾶσαν τῶν οὐρανῶν τῷ πνεύματι τοῦ στόματος αὐτοῦ.
Ἴσον γάρ ἐστιν εἰπεῖν πνεῦμα καὶ εἰπεῖν ῥῆμα ὡς δέδεικται· οὐ
γὰρ δυνησόμεθα διαβάλλειν τὸν Ἀπόστολον, οὐδὲ παραμέμψασθαι τὸν
Θεοδόχον, ῥῆμα προσφόρως εἰπόντας τὸ Πνεῦμα ὡς ἐκ τοῦ πατρικοῦ
ἐκφερόμενον στόματος. Οὐδὲ γὰρ ἔχομεν εἰπεῖν ῥῆμα τὸν Λόγον·
ἐδίδαξε γὰρ ἡμᾶς ἡ Γραφὴ ἐκ γαστρὸς γεννᾶσθαι τὸν Λόγον καὶ
ἐκ καρδίας, οὐ μὴν ἐκ στόματος ἐκπορεύεσθαι. Ῥῆμα οὖν ἐνταῦθα
161v καὶ Πνεῦμα / ταὐτόν ἐστι, κατ' οὐδὲν διαφέρον εἰ μὴ τοῖς ὀνό-
μασι μόνον.

Πανοπλίαν τοίνυν ἐνταῦθα ὁ Παῦλος Θεοῦ τὸν Υἱόν φησι καὶ τὸ Πνεῦμα. Ὅθεν τὸν μὲν ὡς θώρακα δικαιοσύνης ἐνδύσασθαι παραινεῖ καὶ ὡς ζώνην ἀληθείας περιζώσασθαι· "ὅσοι γάρ", φησιν, "εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε"·** Τὸ δὲ κατέχειν ὡς μάχαιραν διὰ τὸ τομὸν καὶ μεριστικὸν τῶν ἐναντίων ἔξωθεν

* Ψαλμοί 44(45), 7.

** Πρὸς Γαλάτας 3, 27. Cf. πρὸς Ρωμαίους 13, 14.

καὶ τῶν ἀσωμάτων ἐχθρῶν.

Ὥσπερ γὰρ ὁ Λόγος τοῦ Θεοῦ τμητικός ἐστι ("ζῶν γάρ", φησιν, "ὁ Λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος"*), οὕτω δὴ καὶ τὸ Πνεῦμα, ὃ ἐστί, φησι, ῥῆμα Θεοῦ (τουτ' ἔστιν ὅπερ ἐκ στόματος τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορεύεται), καὶ ὃ ἔοικεν κατ' οὐσίαν τῷ Λόγῳ τοῦ Θεοῦ καὶ Υἱῷ.

Περικεφαλαίαν δὲ τὸν Πατέρα καλέσας, ὡς δέδεικται, αἴτιον αὐτὸν καὶ γεννήτορα καὶ προβολέα τῶν ἐξ αὐτοῦ ὑποστάσεων σαφῶς παρεδήλωσεν. Ταύτῃ δὲ περιφραξαμένους τῇ πανοπλίᾳ, καὶ τὸν θυρεὸν τῆς εἰς Τριάδα πίστεως ἐπὶ πᾶσι τούτοις ἀναλαβεῖν παρεγγυήσας καὶ προστεθεικὼς, πάντα σβέσαι τὰ πεπυρωμένα βέλη τοῦ Πονηροῦ ὑπισχνεῖται.

Οὐ πάντως δὲ πανταχοῦ τῆς Γραφῆς Πνεῦμα οἰητέον τὸ ῥῆμα, ὥσπερ οὐδ' ἐνυπόστατον Λόγον διὰ παντὸς τὸν λόγον σημαίνειν. Ἀλλ' ἔστιν ὅπου καὶ πρόσταγμα καὶ τὸν λόγον καὶ τὸ ῥῆμα νοεῖν, καὶ κατὰ τὸν νοῦν τῆς Γραφῆς διακρίνειν καὶ τὰ
162R σημαινόμενα. Ὡς ὅταν ἡ Γραφὴ λέγῃ "εὐλογεῖτε τὸν Κύριον πάντες Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ"**. Καὶ "αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς δράκοντες καὶ πᾶσαι ἄβυσσοι, πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ"***, καὶ ὅσα τοιαῦτα, τὸν προστακτικόν, οὐ τὸν ἐνυπόστατον δηλονότι νοεῖν ὀφείλομεν.

Ὅταν δὲ λέγῃ "τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν"****, καὶ "ἀπέστειλε τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτούς"9, ἢ "ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν"99, καὶ ὅσα τοιαῦτα, τὸν ἐνυπόστατον. Ὁμοίως καὶ ὅταν λέγῃ "ῥήματα ζωῆς ἔχεις"999, ἢ "τὰ ῥήματά μου ἐνώτισαι Κύριε"‡, ἢ ὡς πρὸς τὸν Ἄγγελον ἡ

---

* Πρὸς Ἑβραίους 4,12.
** Ψαλμοί 102(103),20 *** ibid. 148,7-8.
**** ibid. 32(33),6.
9 ibid. 106(107),20.
99 Κατὰ Ἰωάννην 1,1.
999 ibid. 6,68.
‡ Ψαλμοί 5,1 · 53(54),4.
cf. Πράξεις 2,14

Παρθένος "Ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου",* ἢ ὡς οἱ ποιμένες "ἴδωμεν τί τὸ ῥῆμα τοῦτο",** καὶ ὅσα ὅμοια ἐμφέρονται τῇ Γραφῇ, οὐ περὶ τοῦ Πνεύματος χρὴ νοεῖν· ὥσπερ οὐδ' ὅταν ὁ αὐτὸς Ἀπόστολος περὶ τοῦ Ἀντιχρίστου λέγῃ σαφῶς "ὃν ὁ Κύριος Ἰησοῦς ἀναλώσει τῷ ῥήματι τοῦ στόματος αὐτοῦ".*** Μὴ γάρ μοι θρασέως ἐπιπηδήσῃς πᾶς ὁ τῶν λέξεων θηρευτής, ὡς καὶ ἐκ τοῦ στόματος Ἰησοῦ ἐκπορεύεσθαι Πνεῦμα εἰρηκότος αὐτοῦ· ἀλλὰ τὸν σκοπὸν τῶν γεγραμμένων ἐξέτασον, καὶ γνώσῃ σαφῶς τὴν εὐθύτητα. Ἐνταῦθα γὰρ οὐ τῷ Πνεύματι, ἀλλὰ τῷ λόγῳ καὶ τῷ προστάγματι Ἰησοῦ τὸν Ἀντίχριστον ἀναιρεθῆναι ἀριδηλότατα φάσκει.

162V Ἀλλὰ γὰρ πάλαι ὁρῶ δυσανασχετοῦντας ὑμᾶς / πρὸς τὸ μῆκος τοῦ λόγου. Ἐγὼ δὲ μάλιστα ἐβουλόμην ὡς παρέλαβον ἁπλοϊκῶς, ὡς συνεθέμην ἀνεπιτηδεύτως, οὕτως παραδιδόναι καὶ τοῖς ἀκούουσι, μὴ ἀεὶ περὶ τῶν αὐτῶν ἀπαιτούμενος τὰς εὐθύνας, ἀλλ' ἐκ μιᾶς ὁμολογίας πεπεισμένους ἔχειν τοὺς διδαχθέντας, καὶ μὴ τοσούτων Πατέρων ἁγίων τὴν παράδοσιν ἀθετεῖν, καὶ τὸ ἅγιον Σύμβολον ἰδίαις προσθήκαις καινοτομεῖν. Ἐπεὶ δὲ ὑμεῖς διὰ μικροῦ σοφίσματος καὶ κιβδήλου διαλογισμοῦ πρὸς τὸ βάραθρον ἑαυτοὺς ἀνεπιστρόφως ὠθεῖτε, οὐ μόνον δέ, ἀλλὰ καὶ ἡμᾶς πρὸς τοῦτο παρακαλεῖτε, ἀνάγκη ἡμᾶς τὴν ἀναλογίαν ὡς ἐν δικαστηρίῳ ἀνακρίνεσθαι, καὶ ἀεὶ μὲν ἀνακρίσεως, ἀεὶ δὲ λέγειν ἃ παρειλήφαμεν. Ὑμᾶς δὲ παρακαλοῦμεν μὴ ἐκ παντὸς τρόπου ζητεῖν τὸ ὑμῖν ἀρέσκον παρ' ἡμῶν ἀκοῦσαι, ἀλλ' ὃ τῷ Κυρίῳ εὐάρεστόν ἐστι καὶ σύμφωνον ταῖς Γραφαῖς καὶ μὴ μαχόμενον τοῖς Πατράσιν.

* Κατὰ Λουκᾶν 1,38.
** ibid. 2,15.
*** Πρὸς Θεσσαλονικεῖς Β, 2,8.

} Στάσις δευτέρα }

Ἃ τοίνυν ἐλέγομεν περὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος τοῦ Ἁγίου, ὅτι ἐκ τοῦ Πατρὸς τὴν ἀρχὴν καὶ τὴν ὕπαρξιν ἔσχον κἂν ἄλλως καὶ ἄλλως (οὐκ ἄναρχα γάρ, καὶ ἄναρχά πως τῷ χρόνῳ, ὃ καὶ παράδοξον,) καὶ ὅτι παρὰ τοῦ Πατρὸς ἀποστέλλονται, οὐχ ὁ Πατὴρ παρ᾽ αὐτῶν, καὶ ὅτι καὶ ἀλλήλοις συνομαρτοῦσι καὶ τοῦ Πατρὸς οὐ χωρίζονται — ταῦτα ἔχομεν λέγειν καὶ νῦν· καὶ δυσωπείτω
163R ὑμᾶς ἡ παράδοσις. Ὁ Κύριος οὕτως ἐδίδαξεν· Προφῆται προήγγειλαν· Ἀπόστολοι ἐκήρυξαν· Πατέρες διετήρησαν· Μάρτυρες ἐδικαίωσαν. Ἀρκέσθητε λέγειν ὡς ἐδιδάχθητε, καὶ μὴ πάλιν περὶ τῶν αὐτῶν τὰς πεύσεις προτείνεσθε ὥσπερ ἐν κύκλῳ περιφορᾷ, ἑκόντι καμμύοντες πρὸς τὸ φῶς. Εἰ δὲ μὴ βούλεσθε, πάλιν ἐρωτᾶτε καὶ πάλιν ἀποκρινούμεθα.

Πῶς οὖν οὐκ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα, εἴπερ τῆς αὐτῆς οὐσίας ὁ Υἱὸς τῷ Πατρί, καὶ οὔτε ἀγέννητόν ἐστιν, οὔτε δὲ γεννητόν — τοῦτο λέγετε; Ὅτι καὶ μιᾶς πηγῆς ἀενάου δύο κρουνοὶ προχεόμενοι, καὶ ἴσον μὲν τὸν ὄγκον τοῦ ῥεύματος, μίαν δὲ τὴν γεῦσιν τοῦ πόματος ἔχοντες, καὶ ἔν τισι μὲν τόποις μιγνύμενοι, ἔν τισι δὲ διαιρούμενοι πάλιν πρὸς τὸ χρειῶδες, οἶμαι, τοῦ τόπου, τὴν πηγὴν ὅμως αἴτιον τῆς ὑπάρξεως ἔχουσιν — οὐ μὴν ἑτέρου ὁ ἕτερος αἴτιος. Ὡς δὲ καὶ ῥίζα δένδρου καὶ κλῶνος καὶ καρπός, μιᾶς φύσεως ὄντα, τρία ταῖς ὑποστάσεσι καὶ ταῖς προσηγορίαις γνωρίζονται· αἴτιον δὲ ἀμφοτέρων ἡ ῥίζα.

Οἶδα δὲ ὡς ἀσθενῆ καὶ ἀνόμοια πάντη τὰ ὑποδείγματα ταῦτα τῆς ἀρρήτου τριαδικῆς θεότητος· καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ ὅσα ἂν εἴπωμεν ἄλλα. Ἀλλὰ μὴ δυνάμενοι ἄλλως παραμυθή-
163V σασθαι ἀμυδρῶς τὴν τῆς διανοίας ἡμῶν παχύτητα, ἐκ τῶν / καθ᾽ ἡμᾶς πραγμάτων λέγομεν τὰ ὑπὲρ ἡμᾶς. Οἷα δὴ καὶ πάλιν

ἐροῦμεν.

Τὸ πῦρ φωτίζει καὶ καίει. Μία δὲ φύσις καύσεως καὶ φωτὸς καὶ πυρός, εἰ καὶ τρεῖς ἔχει προσηγορίας. Σκόπειτε οὖν τὸ ὑπόδειγμα· οἰκειότερον γὰρ τῶν ἄλλων ἐστιν. "Πῦρ γὰρ ὁ Θεὸς ἡμῶν καταναλίσκον τὴν μοχθηρίαν"* Φῶς δὲ νοήσεις τὸν λέγοντα "ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου"**· καὶ καῦσιν τὴν θέρμην τοῦ Παρακλήτου. Τί τοίνυν αἴτιον τῶν ἄλλων ἐρεῖς; Πάντως τὸ πῦρ, ἐξ οὗ καὶ τὸ φῶς καὶ ἡ θέρμη. Οὕτως οὖν καὶ τὴν ῥίζαν καὶ τὴν πηγὴν αἴτια φήσεις ἀναμφιλέκτως τῶν ἐξ αὐτῶν τὴν ὕπαρξιν ἐσχηκότων.

Ἔστι μὲν γὰρ ὁ Πατήρ, τέλειον ἔχων τὸ εἶναι καὶ ἀνενδεές, ῥίζα καὶ πηγὴ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος· ἔστι δὲ καὶ ὁ Υἱός, ἐν πλήρει τῇ θεότητι, ζῶν Λόγος καὶ γέννημα τοῦ Πατρὸς ἀνενδεές· πλῆρες δὲ καὶ τὸ Πνεῦμα, οὐ μέρος ἑτέρου, ἀλλὰ τέλειον καὶ ὁλόκληρον, ἀφ' ἑαυτοῦ θεωρούμενον. Καὶ συνῆπται μὲν ὁ Υἱὸς τῷ Πατρὶ ἀδιαστάτως, συνῆπται δὲ τῷ Υἱῷ τὸ Πνεῦμα· τὸ γὰρ διορίζον οὐκ ἔστιν, οὐδὲ τὸ διατέμνον τὴν ἐξ ἀϊδίου συνάφειαν· αἰὼν γὰρ οὐδεὶς μεταξὺ παρεμπίπτει, οὐδὲ μὴν δέχεται ἡ ψυχὴ ἡμῶν ἐπίνοιαν χωρισμοῦ, ὡς ἢ τοῦ μονογενοῦς μὴ συνόντος ἀεὶ τῷ Πατρὶ ἢ τοῦ Ἁγίου Πνεύματος μὴ συνυπάρχοντος τῷ Υἱῷ.

Ἢ οὐκ οἶδας, εἰπέ μοι, καὶ σὺ πηγήν τινά ποτε
164R ἀκατάληπτον τῷ βάθει γεγονυῖαν/ποταμόν, καὶ σὺν τῷ ποταμῷ θάλασσαν; Καὶ ἡ μὲν φύσις τοῦ ὕδατος μία ἐστιν· τρεῖς δὲ ὑποστάσεις καὶ προσηγορίαι, καὶ ἡνωμένως ὑπάρχουσαι τῇ οὐσίᾳ, καὶ ἰδικῶς τυγχάνουσαι ταῖς ὑποστατικαῖς ὀνομασίαις.

Πηγὴν νόει μοι τὸν Πατέρα ὡς αἴτιον τῶν ἐξ αὐτοῦ·

* Πρὸς Ἑβραίους 12,29· Δευτερονόμιον 4,24.
** Κατὰ Ἰωάννην 8,12· 9,5· 12,46· 1,7-9· 3,19. V. Ἡσαΐας 49,6· cf. Πράξεις 13,47.

Ποταμὸν δὲ τὸν Υἱὸν τοῦ Θεοῦ· θάλασσα δὲ τὸ Πνεῦμα τὸ Ἅγιον. Ἅτινα καὶ σὺν ἀλλήλοις εἰσὶ καὶ ἰδικῶς πάλιν γνωρίζονται. Οὐδὲ γάρ ἐστιν ἡ πηγὴ ὁ ποταμός, κἂν μάλιστα ἀχωρίστως ὑπάρχωσιν· οὐδὲ λέγεται πάλιν ἡ θάλασσα ποταμός, οὐδὲ πηγὴ προσαγορεύεται ὁ ποταμὸς ἢ ἡ θάλασσα, εἰ καὶ ἀδιαιρέτως ἀμφότερα ὑπάρχει.

Οὐκ ἀπεικὸς δὲ τὸ θεῖον ἐν τούτοις ἐξεικονίζειν. Πάντα γὰρ ταῦτα ἐκ τῆς Γραφῆς παρελάβομεν. Πηγὴν γὰρ ζωῆς τὸν Θεὸν προσηγόρευσε· καὶ πάλιν ποταμὸν Θεοῦ τὸν Υἱὸν πεπληρωμένον ὑδάτων· καὶ θαυμαστοὺς εἶναι τοὺς μετεωρισμοὺς τῆς θαλάσσης διδάσκει, τουτέστι τὰ βάθη καὶ μυστήρια τῆς ἀβύσσου τοῦ Θεοῦ καὶ τῆς θείας Γραφῆς, τοῦ Ἁγίου Πνεύματος.

Σὺ δέ μοι σκόπει ἀγαπητὲ τί τίνος αἴτιον. Ἡ
πάντως ἡ πηγὴ ἀμφοτέρων. Εἰ γὰρ καὶ διὰ τοῦ ποταμοῦ ἡ
θάλασσα φανεροῦται, ἀλλ' ἐκεῖθεν ἔχει τὸ εἶναι καὶ αὐτή, ἐκ
τῆς πηγῆς, ὅθεν δὴ καὶ ὁ ποταμός. Οὐδὲ γὰρ τὸ Πνεῦμα ἐκ
τοῦ Υἱοῦ ἐκπορεύεται, εἰ καὶ δι' αὐτοῦ χορηγεῖται· ἀλλ' ἐκ τοῦ
164V Πατρὸς ἀμφοτέρων ἡ ὕπαρξις — φημὶ δὴ τοῦ πρώτου αἰτίου
καὶ ἀναιτίου καὶ παναιτίου.

Ἄκουσον οὖν καὶ ἑτέρων ὑποδειγμάτων. Μία ἦν τῇ οὐσίᾳ ἡ τῷ Μωϋσῇ ἐπὶ τοῦ Σιναίου ὄρους ὀφθεῖσα βάτος· καὶ ἐν τῇ μιᾷ οὐσίᾳ ἐγνωρίζετο φυτὸν καὶ λόγος καὶ πῦρ. Ῥίζαν μοι πάλιν ἐνταῦθα τὸν Πατέρα νόει· λόγον δὲ τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Λόγον· πῦρ δὲ τὸ Πνεῦμα τὸ Ἅγιον. Ὅμως ἐκ τῆς βάτου καὶ τὸ πῦρ καὶ ὁ λόγος ἐξεπορεύοντο.

Καὶ οἶδα μὲν ὡς ἀκατάληπτος πάντη καὶ ἀνεξεικόνιστος ἡ θεία καὶ μακαρία τρισυπόστατος φύσις, μήτε νῷ καταλαμβανομένη, μήτε ῥήμασιν ἢ ὑποδείγμασιν ὑπολαμβανομένη. Θεὸς

γὰρ νοούμενος ἢ καταλαμβανόμενος, οὐκέτι Θεός. Ἀκατάληπτον γὰρ τὸ θεῖον καὶ θεῖαι βεβαιοῦσι γραφαί.

Εἰ γὰρ τὴν τῶν ἀγγέλων οὐσίαν, ἢ πάλιν τῆς ἡμετέρας ψυχῆς, οὐδεὶς τῶν ἐν σαρκὶ ἀνθρώπων ἰδεῖσθαι ἢ ἑρμηνεῦσαι δεδύνηται πώποτε, πόσῳ γε μᾶλλον τοῦ φύσει ἀγνώστου καὶ ἀκαταλήπτου Θεοῦ. Ἀλλ᾽ ἡ πολλὴ ὑμῶν ἔνστασις καὶ φιλονεικία ἐξεβιάσατο τὸν λόγον τοῖς τοιούτοις χρήσασθαι ῥήμασί τε καὶ παραδείγμασιν. Ἀνοίκεια δὲ ὅμως πάντα καὶ πάντῃ τῆς Ἁγίας Τριάδος τὰ παραδείγματα, ὅσα δ᾽ ἂν καὶ εἰρήκαμεν. Ἀλλ᾽ ἤπερ εἴρηται, ἐκ τῶν καθ᾽ ἡμᾶς πραγμάτων λέγομεν τὰ ὑπὲρ ἡμᾶς, καὶ διὰ τῶν αἰσθητῶν ὡς διά τινος ἐσόπτρου τὰ νοητὰ
165R ὑπεμφαίνομεν, τοῖς ἁγίοις Πατράσιν ἡμῶν / καὶ τῇ θείᾳ Γραφῇ κἀν τούτοις, ὡς ἐν πᾶσιν, ἀκολουθοῦντες.

Τί οὖν πρὸς ταῦτα φατέ; Πείθομεν ὑμᾶς τοῖς λόγοις τούτοις, καὶ νενικήκαμεν ἐπὶ τὸ προσλαβεῖν ἀδελφούς, ἢ δεῖ καὶ στερροτέρων λόγων ἡμῖν πρὸς τὸ πείθειν;

Ναί φησιν. Τὸ γὰρ ζητούμενον ἡμῖν οὔπω τὴν ἁρμόζουσαν εἴληφε λύσιν. Εἰ γὰρ ἐκ τοῦ Πατρὸς μόνου τὸ Πνεῦμα ἐκπορεύεται, ὡς φατέ, διατί μὴ καὶ δύο Υἱοὺς λέγομεν, ἢ δύο Πνεύματα, τοὺς ἐκ τοῦ αὐτοῦ Πατρὸς ἐσχηκότας τὴν ὕπαρξιν, ἀλλὰ τὸν μὲν Υἱὸν λέγομεν, τὸ δὲ Πνεῦμα καλοῦμεν, καὶ τὸν μὲν γεγεννῆσθαι φαμέν, τὸ δὲ ἐκπεπορεῦσθαι;

Δι᾽ αὐτὸ τοῦτο, σοφοί, ὅπερ εἰρήκατε. Εἰ γὰρ εἶχεν εἰπεῖν ἡ θεία Γραφὴ ἢ γέννησιν μονοειδῶς ἐπὶ τῶν δύο προσώπων ἢ ἐκπόρευσιν, ἀφόβως ἂν καὶ ἡμεῖς ἐλέγομεν τοῦτο. Νῦν δὲ ἐπὶ

μὲν τοῦ Υἱοῦ γέννησιν παρειλάβομεν, καὶ ταύτην ἐκ καρδίας καὶ ἐκ γαστρός, ὡς μικρῷ πρόσθεν εἰρήκαμεν· ἐπὶ δὲ τοῦ Πνεύματος ἐκπόρευσιν, καὶ αὐτήν, ὡς εἴρηται, ἀπὸ στόματος. Καὶ ὃ παρειλήφαμεν ἐξ ἀρχῆς, τοῦτο ἀπολυπραγμόνως καὶ πιστεύομεν καὶ δοξάζομεν.

Οὐκ ἔστιν οὖν, φησιν, ἐκ τῆς οὐσίας τοῦ Πατρὸς καὶ τὸ Πνεῦμα; Καὶ πάνυ.

Καὶ εἰ ὁμολογουμένως ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ἐστι, καὶ τοῦτο ἄρα Υἱός.

Εἶπον ὑμῖν ὅτι τὸ ἄρα τοῦτο τῇ ἀρᾷ τῶν τριακοσίων
ὀκτωκαίδεκα Ἁγίων Πατέρων ὑμᾶς ὑπευθύνους ποιεῖ. Ἀφέντες οὖν
165V τὸ ἄρα, τὸ παρ' αὐτῶν/ ἐκτεθὲν ἅγιον Σύμβολον ἀναλαβόντες ἀκαινο-
τομήτως κατέχετε, μήτε προστιθέντες μήτε ὑφαιρούμενοι· ὅρια
γὰρ Πατέρων μεταίρειν οὐκ ἀσφαλές. Πλήν, καὶ ταύτην ὑμῶν
τὴν ἀντίθεσιν διαλύσομαι.

Μονογενὴς εἴρηται ὁ Υἱὸς ἐν πάσῃ τῇ θείᾳ Γραφῇ· καὶ τοῦτο, εὖ οἶδα, καὶ ὑμεῖς συνομολογεῖτε. Πῶς οὖν κληθείη μονογενής, εἰ καὶ τὸ Πνεῦμα Υἱός; Ἢ πῶς πρωτότοκος ὁ αὐτὸς λέγοιτο ὑπὸ τῆς Γραφῆς, εἰ καὶ δεύτερος Υἱὸς τὸ Πνεῦμα καλοῖτο;

Τί λέγεις φησι. Ἐκεῖνος γάρ ἐστι μᾶλλον πρωτότοκος, ὁ καὶ ἄλλους ἔχων ἐπιγεννηθέντας αὐτῷ· σὺ δὲ τοὐναντίον εἴρηκας νῦν. Πῶς εἴρηκα τοὐναντίον;

Εἰ μὲν γὰρ ἐθελοκακεῖν βούλεσθε μάτην, οὐκ ἀπορήσετε ἀντιθέσεων· εἰ δ' εὐγνωμόνως ἐξετάζειν τὸν νοῦν τῆς Γραφῆς, οὐκ ἐναντίον, ἀλλὰ καὶ λίαν συνᾷδον ἐστιν. Οὐ γὰρ πάντως πρὸς τοὺς ἐπιγεννωμένους ἔχει τὴν σύγκρισιν, ἀλλ' ἴσον ἐστι καὶ ταὐτὸν τῷ

μονογενής. Πρῶτος γὰρ καὶ μόνος ἐκ τοῦ Πατρός, ὥσπερ δὴ καὶ ἐκ τῆς Παρθένου· κἀκεῖ γὰρ τὸ πρωτότοκος ἀντὶ τοῦ μονογενὴς εἴρηται. Κατὰ τοῦτον δὴ τὸν τρόπον καὶ Ἰσὴλ πρωτότοκος ὀνομάζεται, μηδὲ εἰς δευτέρου τάξιν τῆς Γραφῆς καταδεξαμένης τὸν Ἡσαῦ ἀριθμῆσαι, καίτοι πρωτότοκον ὄντα. Εἰ δὲ μὴ ὡς δέδεικται τὸ πρωτότοκος
166R ἀντὶ τοῦ μονογενὴς ἐκληψόμεθα, ἀλλὰ καθ' ὑμᾶς ὡς πρὸ δευτέρου τὸ Πνεῦμα Υἱὸν πρωτότοκον εἴπωμεν τὸν Μονογενῆ κατὰ τὴν ἄναρχον γέννησιν, ποῦ καὶ κατὰ τὴν χρονικὴν αὐτοῦ γέννησιν εὑρήσομεν ἄλλον Υἱὸν τῆς Παρθένου, ἵνα κἀκεῖ πάλιν πρωτότοκον αὐτὸν πρὸς ἐκεῖνον ἐροῦμεν; Τοῦτο πάντη ἀμήχανον. Ἐκ τῆς οὐσίας μὲν οὖν τοῦ Πατρὸς ἀληθῶς καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα· ἀλλὰ τὸ μὲν ἐκπορεύεται, ὁ δὲ γεγέννηται· διὰ τοῦτο καὶ μονογενής, διὰ τοῦτο καὶ Πνεῦμα Θεοῦ.

Πολλῶν γὰρ καὶ ἄλλων κατὰ μετουσίαν καὶ χάριν υἱῶν Θεοῦ γεγονότων, μόνος οὗτος ἐκ τῆς τοῦ Πατρὸς οὐσίας γεγέννηται. Ὥσπερ δὴ καὶ πνευμάτων ὄντων πολλῶν δουλικῶν καὶ κτιστῶν, μόνον τὸ Ἅγιον Πνεῦμα ἐκ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἀρρήτως ἐκπορεύεται καὶ ἀνερμηνεύτως. "Πνεῦμα γὰρ ἐμοῦ ἐκπορεύεται"* γέγραπται, οὐ γεγέννηται· καὶ ὁ Υἱὸς λέγει "τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται"**, οὐ γεγέννηται. Πείσθητι οὖν καὶ ἄκουσον τοῦ Σωτῆρος, ὡς κρείττονος ἢ κατὰ σὲ θεολόγου.

Καὶ τίς ἡ διαφορά, φησι, τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως; Ὁ τὴν διαφορὰν εἰδώς, καὶ τὸν τρόπον τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως οἶδεν. Ὅτι δὲ οὐδεὶς οἶδεν, ὁ προφήτης βοᾷ: "Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;"***

---

* Ἡσαΐας 57,16. Cf. Ψαλμοί 145(146),4· Ἀριθμοί 11,31· Κριταί 13,25.

** Κατὰ Ἰωάννην 15,26.

*** Ἡσαΐας 53,8· Πράξεις 8,33.

Πῶς οὖν λέγεις, φησί, ἐκ τῆς μιᾶς οὐσίας τὸν μὲν
γεννᾶσθαι, τὸν δὲ ἐκπορεύεσθαι; Τὰ γεγραμμένα λέγω· καὶ σὺ λέγε,
καὶ οὐ κινδυνεύσεις. Εἰ δὲ ζητεῖς πάντα εἰδέναι, τί καταλείψεις
166V τοῖς μόνοις γινώσκειν ἄλληλα καὶ γινώσκεσθαι ὑπ' ἀλλήλων μαρτυρου-
μένοις, ἢ καὶ ἡμῶν τοῖς ἐκεῖθεν ὕστερον ἐλλαμφθησομένοις; Γενοῦ
τι τῶν εἰρημένων πρότερον ἢ τοιοῦτος, καὶ τότε γνώσῃ τοσοῦτον
ὅσον ὑπ' ἀλλήλων γινώσκονται. Εἰ γὰρ νῦν πάντα μάθοιμεν, τί πλέον
ἐπιγνωσόμεθα τότε ὡς ἡ ὑπόσχεσις;

Ἔχοις ἂν εἰπεῖν ὁ μετέωρος τρόπον ἐκπορεύσεως καὶ
γεννήσεως, ὁ τὰ ἐν ποσὶν ἀγνοῶν καὶ οὐδὲ σεαυτὸν μετρῆσαι δυνά-
μενος, τὰ δ' ὑπὲρ τὴν σὴν φύσιν πολυπραγμονῶν καὶ κεχηνὼς εἰς
τὰ ἄμετρα; Οὐ μὲν οὖν οὐδαμῶς· κἂν εἰ μυρία διανοηθῇς
ἀναψηλαφῶν, οὐχ εὑρήσεις. Ὅπερ γὰρ ἡ θεία Γραφὴ πρὸς τὸ συμφέρον
ἑκουσίως ἀπέκρυψεν, οὐδεὶς κατὰ ἀκρίβειαν εἰπεῖν ἰσχύσει. Τὸ λοιπὸν
κόπους ἡμῖν μὴ παρέχῃς ἀνηλογίας. Ἀκούεις γέννησιν; Τὸ πῶς
μὴ περιεργάζου. Ἀκατάληπτος* γάρ. Ἀκούεις ὅτι Πνεῦμα τὸ προϊὸν
ἐκ τοῦ Πατρός; Τὸ ὅπως μὴ πολυπραγμόνει. Ἀκατανόητον γάρ.

Εἰ δὲ πολυπραγμονεῖς Υἱοῦ γέννησιν καὶ Πνεύματος
πρόοδον, καὶ πῶς ἐκ τοῦ Πατρὸς μόνου ταῦτα, κἀγώ σου πολυ-
πραγμονῶ τὸ κρᾶμα ψυχῆς καὶ σώματος. Εἰπὲ τίς εἶ· καὶ πῶς
ἐπλάσθης· καὶ πῶς συνέστης. Πῶς εἰκὼν Θεοῦ εἶ, καὶ τῷ χείρονι
167R συνεδέθης· νοῦς γὰρ καὶ χοῦς, τὸ παράδοξον τῆς ἡμετέρας
φύσεως κρᾶμα. Τί τὸ κινοῦν σε, καὶ τί τὸ κινούμενον. Πῶς
τὸ αὐτὸ καὶ κινεῖ καὶ κινεῖται. Πῶς ἡ αἴσθησις ἐν τῷ αὐτῷ
μένει, καὶ τὸ ἐκτὸς ἐπισπᾶται. Πῶς ὁ νοῦς ἐν σοὶ μένει, καὶ
γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ. Πῶς λόγῳ νόημα διαδίδοται. Πῶς
ἀδιαιρέτως μένων ἐν τῇ ψυχῇ, τὰ πάντα ἐπέρχεται τάχει φορᾶς.

---

* ἀκατάληπτος: ἀκατανόητος cod.

Τίς ἡ περὶ σὲ σοφία, καὶ τί τῆς φύσεως τὸ μυστήριον. Εἰ ἐπίστασαι σύνεσιν, ἀποκρίθητι. Εἰ δὲ μὴ οἶδας, τί πρὸς οὐρανὸν ἀνίπτασαι πεζὸς ὤν; Τί πύργον οἰκοδομεῖς, τὰ πρὸς ἀπαρτισμὸν οὐκ ἔχων; Τί καὶ σὺ μετρεῖς τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί — στοιχεῖα μεγάλα καὶ μόνῳ μετρητὰ τῷ ποιήσαντι; Γνῶθι σαυτὸν πρῶτον. Τὰ ἐν χερσὶ κατανόησον.

Ἄκουσον σοφοῦ τινος συμβουλεύοντός σοι καὶ λέγοντος: εἰ βούλει γνῶναι Θεόν, προλαβὼν γνῶθι σαυτόν. Τί δηλοῦντος τοῦ λόγου; Ἡ πάντως ἵνα πρὸς ἑαυτὸν βλέψας, καὶ πᾶσαν τὴν ἀνθρωπίνην φύσιν καὶ σύμπηξιν, καὶ πολλὰ κάμνων πρότερον περὶ τῆς σῆς πλάσεως καὶ κατασκευῆς ἐρευνῶν, εἶτα μὴ δυνάμενος ἐφορᾶν λόγους συμπήξεως, μορφώσεως, φανερώσεως, ψυχῆς πρὸς σῶμα δεσμόν, νοῦ πρὸς ψυχήν, λόγου πρὸς νοῦν, κίνησιν, αὔξησιν, τροφῆς ἐξομοίωσιν, αἴσθησιν, μνήμην, ἀνάμνησιν, καὶ
167v πῶς μὲν / τὸ ἀθάνατον τῷ θνητῷ συνεκράθη, πῶς δὲ κάτω ῥέω καὶ ἄνω φέρομαι, πῶς ἡ ψυχὴ περιφέρεται, πῶς ζωὴν δίδωσι καὶ πάθους μεταλαμβάνει, πῶς ὁ νοῦς καὶ περιγραπτὸς καὶ ἀόριστος, ἐν ἡμῖν μένων καὶ πάντα ἐφοδεύων ὀξύτητι ῥεύσεως, πῶς μεταλαμβάνεται λόγῳ καὶ μεταδίδοται, καὶ δι᾽ ἀέρος χωρεῖ καὶ μετὰ τῶν πραγμάτων εἰσέρχεται, πῶς αἰσθήσει κοινωνεῖ καὶ συστέλλεται ἀπὸ τῶν αἰσθήσεων, ταῦτά τε καὶ τἄλλα ἐξ ὧν συνέστηκας (ἅπερ διὰ τὸ πλῆθος ὁ λόγος παρέδραμεν) — τῆς περὶ Θεοῦ μὲν ζητήσεως ἀποκάμῃς λοιπόν, ὀκνηρότερος περὶ τὴν ἐγχείρησιν γεγονώς, ἀναβοήσῃς δὲ μετὰ τοῦ Δαδ πρὸς Θεόν "ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· ἐκραταιώθη· οὐ μὴ δύνωμαι πρὸς αὐτήν"* εἶτα καὶ μετὰ Παύλου

* Ψαλμοί 138(139), 6

ἰλιγγιάσας καὶ ἐκπλαγεὶς "ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ"* τορῶς ἀνακράξῃς. Εἰ γὰρ "ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ,"** τίς ἱκανὸς περὶ τῆς ἀκαταλήπτου οὐσίας αὐτοῦ πολυπραγμονεῖν;

Δέον τοι γὰρ οὖν τὰ γεγραμμένα πιστεύειν μόνον καὶ ἀποδέχεσθαι, μὴ ζητεῖν δὲ περαιτέρω προβαίνειν. Εἴρηται ἐν τῇ Παλαιᾷ παρά του τῶν προφητῶν, ὡς ἐκ προσώπου τοῦ Πατρός: "Πνεῦμα παρ' ἐμοῦ ἐξελεύσεται καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα".*** Εἴρηται καὶ ἐν τῇ Καινῇ παρὰ τοῦ Σωτῆρος:

168R "τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται".¶ Δέχου ταῦτα ἀπεριέργως καὶ εὐσεβῶς (ταὐτὸν γάρ ἐστιν ἐξέλευσις καὶ ἐκπόρευσις), μήτε περὶ Υἱοῦ ζητῶν διὰ τί μὴ κέκληται Πνεῦμα, μήτε περὶ τοῦ Πνεύματος διὰ τί μὴ Υἱός· μήτε διισχυρίζου διὰ τί μὴ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται — ἐπεὶ οὐδὲ γέγραπται που ῥητῶς. Εἰ γὰρ ἐγέγραπτο, ἐλέγομεν ἂν καὶ τοῦτο ἀφόβως. Οὐ γέγραπται· μὴ τολμήσωμεν. Φοβερὸν γὰρ τῶν θείων λογίων τοὺς ὅρους μετακινεῖν.

Ἄλλως τε οὐκ ἂν ἦν μέγα ἡ τοῦ Υἱοῦ γέννησις καὶ ἡ τοῦ Πνεύματος ἐκπόρευσις, εἴ σοι κατελαμβάνετο, τῷ μηδὲ τὴν ἰδίαν ἐπισταμένῳ γέννησιν μήτε τὴν τοῦ οἰκείου πνεύματος ἔμπνευσιν, ἢ μικρόν τι περὶ τούτων κατειληφότι. Εἰ δὲ καὶ κατείληφας ἴσως καὶ κατενόησας (ὅπερ ἀδύνατον), μηδὲ τότε φιλοσοφήσῃς Θεοῦ γέννησιν ἢ ἐκπόρευσιν· οὐ γὰρ ἀσφαλές. Εἰ μὲν γὰρ τὴν σὴν γινώσκεις, οὐ πάντως καὶ τὴν τοῦ Θεοῦ· εἰ δὲ μὴ τὴν σήν, πῶς τὴν τοῦ Θεοῦ; Ὅσῳ γὰρ Θεὸς ἀνθρώπου δυστεκμαρτότερος, τοσούτῳ καὶ τῆς σῆς γεννήσεως καὶ τῆς τοῦ πνεύματος ἐκφορᾶς ἀληπτοτέρα ἡ ἄνω γέννησις τοῦ Υἱοῦ καὶ ἡ τοῦ Πνεύματος

---

* Πρὸς Ῥωμαίους 11,33. ¶ Κατὰ Ἰωάννην 15,26.
** ibid.
*** Ἡσαΐας 57,16. Cf. Παροιμίαι 24,12.

ἐκπομπή.

Εἰ τι οὖν ἐμοὶ πείθῃ πᾶς ὅστις ἂν εἴης ὁ ἀντιλέγων καὶ ἀντιτιθέμενος, σύμφωνος γενοῦ τῇ Θείᾳ Γραφῇ. Ἕπου τοῖς ὑγιέσι δόγμασι τῶν Ἁγίων Πατέρων, αἰδούμενος τὸν
168V πολὺν αὐτῶν ἀριθμόν. Μὴ πάντες ἐκεῖνοι τὴν ἑαυτῶν ἀπώλειαν ἐπραγματεύσαντο, ἢ καὶ ἡμεῖς τὴν ἰδίαν σωτηρίαν οὐ θέλομεν; Γέγραπται ὅτι "ἀγαθοὶ οἱ δύο ὑπὲρ τὸν ἕνα· καὶ ἐπὶ δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα".* Εἷς γὰρ οὐδενὸς ἄξιος· ἀπαράδεκτος γάρ. Ὅπου δὲ τέσσαρες ὁμοφωνοῦσι, τίς ἀμφιβάλλει μὴ οὐχὶ πιστὴν αὐτῶν τὴν μαρτυρίαν ὑπάρχειν; Πῶς γὰρ οὐ πιστωθήσονται τὰ τέσσαρα Πατριαρχεῖα καὶ πᾶσα ἡ ὑπ' αὐτὰ τετραπέρατος οἰκουμένη συμμαρτυροῦσαν ἔχοντα τὴν Θείαν Γραφὴν καὶ τοὺς ὅρους τῶν Ἁγίων Πατέρων, καὶ αὐτὸν δὴ πρὸ πάντων τὸν εἰπόντα Θεόν "ὅπου δ' ἂν εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ἐμῷ ὀνόματι, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν"**; Πῶς δὲ μόνη ἡ Ῥώμη ἀξία πίστεως λέγειν κριθείη παρὰ τοῖς ὑγιῶς κρίνειν ἐπισταμένοις, μὴ φανερὰν ἔχουσα συνηγορίαν ἐκ τῆς Γραφῆς ὅτι καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τὸ Ἅγιον Πνεῦμα;

Ναί, φησι, ἔχομεν καὶ ἡμεῖς τὸν Ἀπόστολον λέγοντα: "εἴ τις οὐκ ἔχει πνεῦμα Χριστοῦ, οὗτος οὐκ ἔστι Χριστοῦ"! ***

Καὶ τί τοῦτο; Μὴ γὰρ ἀμφιβάλλομεν, μὴ εἶναι λέγοντες τὸ Πνεῦμα Χριστοῦ; Ὥσπερ ἐστὶ τοῦ Πατρός, οὕτως ὁμολογουμένως καὶ τοῦ Υἱοῦ· μία γὰρ τῶν τριῶν ἡ οὐσία, ὥσπερ καὶ μία θεότης. Ἀλλ' οὐ τοῦτο ἡ λέξις σημαίνει, ὅτι ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται ὥσπερ ἐκ τοῦ Πατρός. Ἀνάγνωθι τὰ πρὸ ταύτης καὶ τὰ μετ' αὐτήν,
169R καὶ γνώσῃ / σαφῶς τὸ λεγόμενον. Οὐ γάρ ἐστι δεικτικὸν τοῦ ἀμφισβητουμένου νοήματος**** τοῦτο τὸ ῥῆμα, ἀλλὰ μόνον

* Δευτερονόμιον 1915· 17,6· Κατὰ Ματθαῖον 18,16· Πρὸς Κορινθίους Β 13,1· Κατὰ Ἰωάννην 8,17· Πρὸς Τιμόθεον Α 5,19.
** Κατὰ Ματθαῖον 18,20 *** Πρὸς Ρωμαίους 8,9. **** νοήματος: ζητήματος cod.

τοῦ Χριστοῦ παριστᾷ εἶναι τὸ Πνεῦμα. Τοῦτο δὲ λέγομεν καὶ ἡμεῖς. Καὶ γὰρ καὶ τὸ Πνεῦμα τοῦ Χριστοῦ ἐστιν, καὶ ὁ Χριστὸς τοῦ Πνεύματος καὶ ὁ Πατὴρ ἀμφοτέρων, καὶ ἀμφότεροι τοῦ Πατρός, ἐπειδὴ καὶ μία φύσις ὡς εἴπομεν τοῖς τρισίν. Ἢ ἀλλὰ δείξατε ἡμῖν σαφῶς ἐκπορεύεσθαι λέγουσαν τὴν Γραφὴν τὸ Πνεῦμα ἀπὸ τοῦ Υἱοῦ, ὥσπερ ἀπὸ τοῦ Πατρὸς ἀριδήλως ἐκπορεύεσθαι φάσκει, καὶ πειθόμεθα.

Ἀλλὰ ταῦτα μὲν ὅσον εἰς ἀπολογίαν καὶ ἀνατροπὴν τοῦ ὑμετέρου προβλήματος, οὗ τὴν ἰσχὺν ἄμαχον οἴεσθε, καὶ ἐφ' οὗ ἐπερείδεσθε. Εἰ δὲ μὴ δοκῶ τοῦ δέοντος περιεργότερος, ἔστι καὶ ἄλλως τὸ ἀποστολικὸν ἐκλαβέσθαι ῥητόν, <ὅπερ> ἴσως καὶ ἀληθέστερον δόξει τοῖς φιλαλήθως κρίνειν ἐπισταμένοις. Ὥσπερ γὰρ λέγεται πνεῦμα σοφίας καὶ πνεῦμα συνέσεως καὶ βουλῆς καὶ ἰσχύος καὶ γνώσεως καὶ εὐσεβείας καὶ ἀληθείας, οὕτω καὶ πνεῦμα πραότητος καὶ πνεῦμα παροξυνόμενον ἔστι τε καὶ λέγεται, ταῖς διαφόροις αὐτοῦ ἐνεργείαις, ὡς φίλον τῷ Ἠσαΐᾳ, συμμεταβάλλον τὰς κλήσεις.

Τὸ οὖν ἐν τοῖς Προφήταις ἐνεργοῦν πάλαι πνεῦμα παρωξύνετό τε τοῖς πταίουσι καὶ κακῶς αὐτοὺς διετίθει. Δῆλον δὲ τοῦτο καὶ ἐξ ἄλλων μὲν πλείστων, οὐχ ἥκιστα
169V δὲ καὶ ἐκ τῶν παρὰ Μωσέως μὲν πρότερον ἐπενεχθέντων τοῖς Αἰγυπτίοις πληγῶν, καὶ τοῖς περὶ Δαθάν τε καὶ Ἀβηρὼν καὶ Κορέ, ὕστερον δὲ καὶ παρὰ Ἠλιοῦ τοῦ Θεσβίτου εἴς τε τοὺς δύο πεντηκοντάρχους καὶ τοὺς ὑπ' αὐτοὺς ἑκατόν, καὶ ἐπὶ τοὺς ὀκτακοσίους πεντήκοντα ἱερεῖς τῆς αἰσχύνης καὶ τῶν ἀλσῶν. Τὸ ἐν ἀμφοτέροισιν γὰρ ἐνεργοῦν Ἅγιον Πνεῦμα παροξυνθὲν τὴν ἐξουσίαν ἐκείνην ἐν ἀμφοτέροις πανωλεθρίαν εἰργάσατο. Τὸ δὲ

ὕστερον οὐσιωθὲν συνὸν τῷ Χριστῷ πνεῦμα πραότητος καὶ ἦν καὶ ἐλέγετο. Οὐ μόνον γὰρ λοιδορούμενος οὐκ ἀντελοιδόρει καὶ τυπτόμενος οὐκ ἠπείλει, ἀλλὰ καὶ τῷ Πέτρῳ αἰρομένῳ τὴν μάχαιραν ἐπιτιμᾷ, καὶ τὰς λεγεῶνας τῶν ἀγγέλων κατὰ τῶν ἐπανισταμένων καὶ τυραννούντων παραστῆσαι δυνάμενος παραιτεῖται, τύπον καὶ ὑπογραμμὸν ἡμῖν παρεχόμενος. Διὸ καὶ τοῖς περὶ Ἰάκωβον καὶ Ἰωάννην εἰποῦσι "Κύριε θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ καὶ ἀναλώσει αὐτοὺς ὡς καὶ Ἠλίας ἐποίησεν"* ἐπετίμησε λέγων "οὐκ οἴδατε ποίου πνεύματός ἐστε;"** Τουτέστιν οὐχὶ ὀργῆς πνεῦμα τὸ ἐν ὑμῖν ὡς ἐν τοῖς Προφήταις, ἀλλὰ πνεῦμα πραότητος καὶ φιλανθρωπίας[3]. εἰ οὖν ἀκμὴν ἀσύνετοι ἐστὲ καὶ οὐκ οἴδατε ποίου τυγχάνετε πνεύματος "μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς
170R ὑμῶν"! *** /

Τοῦτο οὖν καὶ ὁ Παῦλος εἰδώς, τοῖς μὴ ἀνεξικακεῖν ἐθέλουσιν ἀλλ' ἀμύνεσθαι καὶ ἀντιτύπτειν ἐπιστέλλων φησίν: "εἴ τις οὐκ ἔχει πνεῦμα Χριστοῦ, οὗτος οὐκ ἔστι Χριστοῦ".[9] Τουτέστιν: εἴ τις ὀργίλος καὶ ἀμυντικὸς εἶναι θέλει, καὶ οὐκ ἔχει τὴν πραότητα τοῦ Χριστοῦ, οὐκ ἔσται αὐτοῦ μαθητής, εἰ γὰρ αὐτὸς ἡ κεφαλὴ τοῦ ὅλου σώματος τῆς ἐκκλησίας πρᾴως ἤνεγκε πάντα τὰ ἐπονείδιστα "οὐκ ἐρίζων οὐδὲ κραυγάζων οὐδ' ἐν ταῖς πλατείαις φωνὴν προϊέμενος οὐδὲ ψυχομαχῶν πρὸς τοὺς ἄγοντας", πολλῷ μᾶλλον δεῖ καὶ τὰ λοιπὰ μέλη τοῦ σώματος τοῦτο ποιεῖν.

Εἴπερ οὖν καὶ ὑμεῖς καλῶς ἔχειν οἴεσθε

---

* Κατὰ Λουκᾶν 9,54. Σημειωτέον ὅτι εἰς τὸ εὐαγγελικὸν κείμενον τοῦ Νικήτα περιελαμβάνετο ἡ φράσις ὡς καὶ Ἠ. ἐπ.
** ibid. 9,55. Ὑπῆρχε λοιπὸν καὶ ἡ ἐπιτίμησις ἐπίσης (v. *).
*** Κατὰ Ματθαῖον 11,29.
9 Πρὸς Ρωμαίους 8,9.
3 φιλανθρωπείας cod.

τὴν ἐξήγησιν ταύτην, πεισθέντες ὁμονοήσατε σύμφωνοι γεγονότες ἡμῖν περὶ τὸ τῆς πίστεως σύμβολον. Εἰ δὲ ταῖς ἤδη ἀποδοθείσαις ὑμῖν μαρτυρίαις περὶ τῆς ἐκ τοῦ Πατρὸς μόνου ἐκπορεύσεως τοῦ Πνεύματος οὐκ ἀρκεῖσθε, παραγάγωμεν, εἰ βούλεσθε, καὶ ἑτέρας. Λέγει γὰρ ὁ σοφώτατος Σοφονίας: "ὅτι Κύριος ἡμᾶς ἐποίησε, καὶ ἐποίησεν ἡμᾶς διὰ τῆς ἐξ αὐτοῦ πνοῆς".* Εἶτα Ἱερεμίας ὁ μέγας προφήτης καὶ ἐκ μήτρας ἡγιασμένος "ἤπη παρεῖδε", φησιν, "νόμον Θεοῦ, ὅτι ἔθυσε τοῖς γλυπτοῖς ἐν ὑψηλοῖς· διὰ τοῦτο οὐκ ἐγκατοικήσει ἐν αὐτῷ τὸ ἐκπνεόμενον ἐκ τοῦ στόματός μου".** Οὔτε δὲ μέλος τὸ στόμα πάντως ὡς εἴπομεν ἄνωθεν, οὔτε πνοὴν λυομένην τις εὖ φρονῶν ὑπο-
17ον λάβοι ἐπὶ Θεοῦ τοῦ ἀΰλου καὶ ἀσωμάτου καὶ πάντῃ ἀσχηματίστου, ἀλλὰ Πνεῦμα ὁμοούσιον τῷ Πατρὶ καὶ ἐν ἰδίᾳ γνωριζόμενον ὑποστάσει. Εἶτα ὁ Βαρούχ, ἵνα καὶ τρίτον μάρτυρα ὑμῖν παραγάγω, "ἵνα τί ἐγκαυχᾶται" φησι "πονηρὸς ἐν ἁμαρτίαις αὐτοῦ ὅτι τιμὴ ἐστιν ἐν αὐτῷ Πνεῦμα τὸ ἐξ ἐμοῦ Κυρίου Θεοῦ Σαβαώθ;" ***

Τί πρὸς ταῦτα φατέ; Ἐκ τοῦ Πατρὸς ἡ Γραφὴ λέγει προϊέναι τὸ Πνεῦμα ἢ καὶ ἐκ τοῦ Υἱοῦ; Ζητεῖτε δὲ ὅλως ἑτέραν μαρτυρίαν φανερωτέραν; Δέξασθε, εἰ ἀρεστὸν ὑμῖν, καὶ τὸν Θεοπάτορα τῷ Πνεύματι τοῦ πατρικοῦ στόματος ἐστερεῶσθαι λέγοντα πᾶσαν τὴν δύναμιν τῶν οὐρανίων ταγμάτων. Συναριθμήσατε τούτοις καὶ πέμπτον, εἰ βούλεσθε, τὸν Σωτῆρα, εἴ γε μὴ ἀπόβλητος ὑμῖν μάρτυς νομίζεται, παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι φάσκοντα τὸ Πνεῦμα τῆς ἀληθείας—

* V. εἰσαγωγήν.
** cf. Ἱερεμίας 10, 14. 28(51) 17
*** V. εἰσαγωγήν.

οὐ τὸ ἀγγελικόν, οὐ τὸ ἀνθρώπινον, οὐ τὸ ἀνεμιαῖον, ἀλλὰ
τὸ Πνεῦμα τῆς ἀληθείας τὸ συμμέτοχον τῆς πατρικῆς
οὐσίας καὶ τῆς νίκης, ἤτοι τῆς ἀληθείας.

Εἰ δὲ μὴ βούλεσθε πεισθῆναι ἡμῖν τῇ φιλονεικίᾳ
κρατούμενοι, ἀλλὰ κἂν γοῦν τῷ λέγοντι σταθήσεσθαι πᾶν
ῥῆμα ἐπὶ δύο καὶ τριῶν ἤτοι πέντε μαρτύρων πείσθητε.
Ἢ ἀλλὰ δότε ἡμῖν τὴν διαβολὴν τῶν μαρτύρων ὡς ἐν τοῖς
κοσμικοῖς δικαστηρίοις, καὶ σιωπήσομεν. Εἰ δὲ βούλεσθε γνῶναι
ὅτι ἐκ τοῦ Πατρὸς τὴν ὀντότητα ἔχουσι καὶ τὸ Πνεῦμα
171R καὶ ὁ Υἱός, καὶ αὐτός /ἐστι μόνος Πατὴρ καὶ πρῶτον
αἴτιον καὶ ῥίζα καὶ πηγὴ τῶν ἐξ αὐτοῦ ὑποστάσεων,
ἀκούσατε καὶ αὖθις γραφικῆς μαρτυρίας. Λέγει γὰρ ὁ
Δαδ "οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ
χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα"*. καὶ πάλιν
"καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί."** καὶ τίνες
ἂν εἶεν Θεοῦ ἀσωμάτου ἀσώματοι χεῖρες αἱ τὸ στερέ-
ωμα καὶ τοὺς οὐρανοὺς δημιουργήσασαι, αὐτὸς ὁ προφή-
της ἑρμηνεύει λέγων "τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ
ἐστερεώθησαν καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ
πᾶσα ἡ δύναμις αὐτῶν."***

Ἀλλ' ὥσπερ οὐ προφορικὸς λόγος ἐν τῷ Θεῷ,
ἀλλὰ ζῶν καὶ ὑφεστηκὼς καὶ τῶν ὅλων δραστήριος,
οὕτως ἐν Θεῷ οὐ πνεῦμα διαχεόμενον, οὐδὲ διαλυόμε-
νος ἀήρ, ἀλλὰ δύναμις ἁγιαστική, ἐνούσιος, ἐνύπαρκτος,
ἐνυπόστατος.

Καὶ πάλιν αὐτός: "αἱ χεῖρές σου ἐποίησάν
με καὶ ἔπλασάν με."[9] Ἔχει δὲ καὶ τόδε <τὸ> ῥητὸν
τὴν αὐτὴν τῷ προρρηθέντι διάνοιαν. "Πνεῦμα γὰρ

---

* Ψαλμοί 18(19),1.
** ibid. 101(102),26
*** ibid. 32(33),6

9 ibid. 118(119),73

θεῖον" φησὶν ὁ Ἰὼβ "τὸ ποιῆσάν με"·* καὶ τὴν ἄλλην χεῖρα ὁ Σολομὼν σαφηνίζων, φησί: "Θεὲ πατέρων καὶ Κύριε τοῦ ἐλέους ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας ἄνθρωπον".** Τίς δὲ σοφία Θεοῦ καὶ λόγος; Ἄκουσον τοῦ Ἀποστόλου: "Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία",*** ἥτις ἐστὶ χεὶρ δημιουργικὴ κατὰ τὸν τῆς τροπολογίας λόγον.

Ἔγνωτε οὖν σαφῶς ὅτι ἐκ τοῦ Πατρὸς ἡ
171V Γραφὴ πανταχοῦ/ λέγει τὸ Πνεῦμα; εἰ μὴ ἐγνώκατε, καὶ πάλιν ἀκούσατε "ὅτι Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην, καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς"[9]. καὶ ὁ ἄγγελος: "Πνεῦμα Κυρίου ἐπελεύσεται ἐπὶ σέ· διὸ καὶ τὸ γεννώμενον ἐκ Πνεύματός ἐστι Ἁγίου".[99]

Ὁρᾷς πῶς τὸν Υἱὸν μᾶλλον ἐκ Πνεύματος λέγει ὁ Γαβριὴλ γεγεννῆσθαι κατὰ τὴν σωματικὴν αὐτοῦ γέννησιν; Καὶ αὖθις πρὸς Ἰωσήφ: "μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου".[999] Καὶ πάλιν ὁ Εὐαγγελιστὴς ἑρμηνεύων τὰ ἐν τῷ Προφήτῃ "ἵνα πληρωθῇ" φησι, "τὸ γεγραμμένον· Ἰδοὺ ὁ παῖς μου ὁ ἐκλεκτός, ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου· Θήσω τὸ Πνεῦμά μου ἐπ' αὐτόν".‡

Ὑμεῖς μὲν οὖν καὶ ἐκ τοῦ Υἱοῦ τὸν Παράκλητον ἐκπορεύεσθαι λέγετε καὶ ἐκ τοῦ Πατρός, διὰ τὸ μέσον τοῦ ἀγεννήτου καὶ τοῦ γεννητοῦ ἀναφαίνεσθαι τοῦτον, ὡς τρόπον τινα γεννηταγέννητον

* Ἰὼβ 33,4
** Σοφία Σαλωμών 9,1
*** Πρὸς Κορινθίους Α 1,24
9 Σοφία Σαλωμών 1,7
99 Κατὰ Λουκᾶν 1,35.
999 Κατὰ Ματθαῖον 1,20
‡ Κατὰ Ματθαῖον 12,17-8· cf Ἡσαΐας 42,1· 41,9.

ἡμῖν αὐτὸν ὑπεμφαίνοντες. Ἐγὼ δὲ δείκνυμι τοὔμπαλιν, διὰ πάντων τῶν ῥηθέντων ὑμῖν, ἐκ τοῦ Πνεύματος καὶ ἐν τῷ Πνεύματι καὶ διὰ τοῦ Πνεύματος τὸν Υἱόν.

Ἄκουσον γὰρ αὐτοῦ ὁ μαχόμενος ἐν Πνεύματι Θεοῦ ἐκβάλλειν τὰ δαιμόνια λέγοντος· καὶ πάλιν ἐν Πνεύματι ἄγεσθαι εἰς τὴν ἔρημον ἐκ τοῦ Ἰορδάνου μετὰ τὸ βάπτισμα· καὶ διὰ Πνεύματος μαρτυρούμενόν τε καὶ φανερούμενον· καὶ πάλιν ἐρχόμενον ἐκ τοῦ Πατρὸς καὶ μένον ἐπ' αὐτόν. Καὶ πάλιν
172R τοῦ Δαδ καὶ τοῦ Ἀποστόλου/ ἐκ τοῦ Πατρὸς λεγόντων εἶναι συναϊδίως καὶ τὸ Πνεῦμα καὶ τὸν Υἱόν. Ὁ μὲν γάρ φησιν "ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου"* φῶς λέγων τὸ Πνεῦμα καὶ ἀλήθειαν τὸν Υἱόν· καὶ ἐν ἄλλοις "δεῖξον ἡμῖν Κύριε τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δώῃς ἡμῖν."** Ὁ δὲ "καὶ ταῦτά τινες ἦτε," φησί· "ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν."***

Εἰ μὲν οὗτος ἰσχυρὸς ὁ λόγος, τῷ Θεῷ χάρις τῆς θεωρίας. Εἰ δὲ μή, ζητοῦμεν τὸν ἰσχυρότερον παρ' ὑμῶν. Καὶ εἰ ἔστι λόγος συνέσεως, ἀποκρίθητε· δότε καὶ ἡμῖν ὁδὸν ἀποκρίσεως. Οἷς γὰρ ἂν ὑμεῖς τὴν ἐκ μόνου τοῦ Πατρὸς ἐκπόρευσιν ἀποκρούσησθε λόγοις, οὗτοι καὶ ἡμῖν ἀρκέσουσι τάχα κατὰ τῆς δευτέρας ὑμῶν τοῦ Πνεύματος ἐκ τοῦ Υἱοῦ ἐκπορεύσεως. Καὶ νικήσομεν ἴσως κἂν τούτῳ,

* Ψαλμοί 42(43),3.
** ibid 84(85),8
*** Πρὸς Κορινθίους Α 6,11.

ὑμῖν τοῖς κατηγόροις συνηγόροις χρώμενοι — ὃ καὶ γενναιότερον πάσης νίκης. Εἰ δὲ τὰς ἀδιαβλήτους μαρτυρίας αἰδούμενοι κακῶς ἡττᾶσθε τῷ πλήθει τῶν εἰρημένων καὶ οὐκ ἔχετέ τι λέγειν πρὸς ταῦτα, ἀλλ' ἔγωγε πειράσομαι ὅμως κἀντεῦθεν δοῦναί τινα τῷ λόγῳ βοήθειαν χάριν ὑμῶν. Τὰ μὲν οὖν ἄλλα παρήσειν μοι δοκῶ, πολλὰ ἂν ἔχων εἰπεῖν. Ἓν δέ τι τῶν ἡμετέρων εἰπών, ὃ καὶ πᾶσι γνώριμον, καταπαύσω τὸν λόγον.

{ Στάσις τρίτη }

Ὁ Ἀδὰμ τί ποτε ἦν; Πλάσμα Θεοῦ. Τί
172V δὲ ἡ Εὔα; Τμῆμα τοῦ πλάσματος. Τί δὲ ὁ Σήθ; |
Ἀμφοτέρων γέννημα. Ἆρ᾽ οὖν ταυτὸν ἡμῖν φαίνεται
πλάσμα καὶ τμῆμα καὶ γέννημα; Οὐχὶ πάντως. Ὁμο-
ούσια δὲ ταῦτα ἢ τί ἄλλο; Πῶς δὲ οὔ; Ὡμο-
λόγηται οὖν καὶ τὰ διαφόρως ὑποστάντα τῆς
αὐτῆς ἐνδέχεσθαι οὐσίας εἶναι. Τί οὖν ἄπιστον, εἰ,
καὶ ἐπὶ τῆς μιᾶς φύσεως τῆς θεότητος τρεῖς λέγοντες
εἶναι ὑποστάσεις, ἰδίαν ἐφ᾽ ἑκάστης κηρύττομεν ὕπαρξιν,
τῷ μὲν Πατρὶ τὸ* ἀγέννητον νέμοντες (οὗ εἰκὼν ὁ Ἀδάμ),
τὸ δὲ γεννητὸν τῷ Υἱῷ (οὗ τύπος ὁ Σήθ), τῷ δὲ
Ἁγίῳ Πνεύματι τὸ ἐκπορευτὸν (οὗ σαφῶς ἡ Εὔα
εἰκών); Δεῖ γὰρ ἐκ τῆς εἰκόνος κατανοεῖν τὸ
ἀρχέτυπον, καὶ τοὔμπαλιν ἐκ τοῦ πρωτοτύπου κατα-
μαθεῖν τὴν εἰκόνα. Λέγω δὲ ταῦτα οὐκ ἐπὶ τὴν
θεότητα φέρων τὴν πλάσιν ἢ τὴν γέννησιν ἢ τὴν τμῆσιν
ἤ τι τῶν ὅσα σώματος — μή μοί τις ἐπιφυέσθω
πάλιν τῶν λογομάχων, — ἐπὶ δὲ τούτων θεωρῶν
ὡς ἐπὶ σκηνῆς τὰ νοούμενα. Οὐδὲ γὰρ οἷόν τε τῶν
εἰκαζομένων οὐδὲν πρὸς πᾶσαν ἐξικνεῖσθαι καθαρῶς τὴν
ἀλήθειαν. Ἀλλ᾽ ἐπειδὴ οὐκ ἰσχύομεν ἄλλως μικράν τινα
ἔννοιαν περὶ τῆς ἀκαταλήπτου φύσεως δέξασθαι ἢ ἐκ
τῶν καθ᾽ ἡμᾶς πραγμάτων ἄλλην ἐξ ἄλλης φαντασίαν
συλλέγοντες εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα, οὐκ
ἀπεικὸς ἐκ τοῦ κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ κτισθέντος
ἀνθρώπου τὸ ἀρχέτυπον καὶ τρισήλιον κατοπτρίζεσθαι
κάλλος. Οἱ γὰρ ἀπλανῶς τὴν τοῦ προσώπου θεόκτιστον

* τὸ : τῷ cod.

173R ὡραιότητα καταμαθεῖν βουλόμενοι οὐκ ἄλλως πως τὴν οἰκείαν εἰκόνα καὶ τοῦ προσώπου τὸν χαρακτῆρα ἐνοπτρίζεσθαι δύνανται ἀλλ' ἢ διά τινος καθαρωτάτου ἐσόπτρου, ἐν ᾧ τὴν οἰκείαν τῆς ὄψεως εἰκόνα προσεγγίζοντες, ἐν αὐτῷ καὶ δι' αὐτοῦ ὁρῶσι τρανῶς ἔνδον ἀντίμιμόν τινα χαρακτῆρα κατ' εἰκόνα ἐλυλών καὶ καθ' ὁμοίωσιν.

Οὐκοῦν καὶ ἡμεῖς ὥσπερ ἐν ἐσόπτρῳ τινὶ πρὸς τὴν θείαν ἀκτῖνα τοῦ νοεροῦ ἡλίου ἐνατενίσαντες, ἐκεῖθεν ἐναργῶς τὸ ἀποσκίασμα καὶ τὴν μορφὴν καὶ τὴν εἰκόνα τοῦ κατ' εἰκόνα καὶ ὁμοίωσιν τῆς ἡμετέρας καταμάθωμεν φύσεως. Εἶτα γνόντες καλῶς κατὰ τί λεγόμεθα εἰκὼν τοῦ Θεοῦ, αὖθις ἐκ τῆς εἰκόνος ἐπιγνώσομεν τὸ πρωτότυπον. Εἰ βούλῃ γάρ, φησι, γνῶναι Θεόν, προλαβὼν γνῶθι σαυτόν. Τοῦτο δὲ διλήμματον ὂν τὸ ῥητὸν τοῦ σοφοῦ, διπλῆν παρέχει τὴν ἔννοιαν· ὅτι τε ἀδύνατον πάντῃ καταλαβέσθαι ὕπαρξιν θείας οὐσίας τῷ μηδὲ τὴν ἰδίαν οὐσίαν ὅ τί ποτέ ἐστιν ἀκριβῶς κατανοῆσαι ἰσχύοντι, καθὼς ἀποδεδώκαμεν ἄνωθεν, καὶ ὅτι δυνατὸν τῷ βουλομένῳ πάντῃ ἐκ τῆς ἑαυτοῦ κατασκευῆς ἐπιγνῶναι τὸ Θεῖον· ὃ καὶ τῆς προτέρας ἐννοίας ἀληθέστερόν μοι δοκεῖ ὡς ἐντεῦθεν ἤδη ἐροῦμεν, μηδὲ τὴν πρώτην ἐκδοχὴν ἔξω ἀληθείας τιθέμενοι. Ἔστι γάρ,
173V ἔστιν, ὡς ἐμοί γε δοκεῖ, ἡ τοῦ ἀνθρώπου κατασκευὴ φοβερά τις καὶ δυσερμήνευτος καὶ πολλὰ καὶ ἀπόκρυφα μυστήρια Θεοῦ ἐν ἑαυτῇ ἐξεικονίζουσα.

Καὶ πρῶτον γε πάντων ἐκεῖνο ζητῆσαι ἄξιον· Τί δήποτε μὴ μᾶλλον τοὺς νοεροὺς καὶ ἀΰλους καὶ οὐρανίους καὶ πλησιοθέους ἀγγέλους ὠνόμασεν ὁ Θεὸς κατ' εἰκόνα καὶ ὁμοίωσιν; Καὶ γὰρ καὶ τὸ ἀρχικὸν καὶ τὸ ἐξουσιαστικὸν πάσης τῆς γῆς, καὶ αὐτοῦ τοῦ ἀνθρώπου, αὐτοὶ ἔχουσι μᾶλλον ὑπὲρ τὸν ἄνθρωπον, καὶ τὸ νοερὸν καὶ τὸ λογικὸν καὶ τὸ ἀθάνατον ὁμοίως καὶ τὸ ἄφθαρτόν τε καὶ τὸ ἄϋλον καὶ ἀσώματον καὶ τὸ ἀόρατον καὶ τὸ καθαρόν· καὶ πάντα ὅσα ἄλλα ἐγκώμια περὶ τοῦ Ἀδὰμ εἴπῃς ὑπερβαλλόντως εἰσὶν ἐν τοῖς νοεροῖς καὶ οὐρανίοις τῶν ἀσωμάτων χοροῖς.

Οὐκοῦν τι βαθύτερον ἡμῖν τῶν προειρημένων τὸ κατ' εἰκόνα τοῦ ἀνθρώπου αἰνίττεται. Οὐ γὰρ μίαν τινὰ εἰκόνα καὶ ὁμοίωσιν ὁ ἄνθρωπος κέκτηται, ἀλλὰ καὶ δευτέραν καὶ τρίτην καὶ τετάρτην καὶ πέμπτην, ἐξεικονίζων ὥσπερ ἐν ἐσόπτρῳ τινὶ καὶ σκιαγραφίᾳ τυπικῇ, οὐ φυσικῇ, τῆς Τρισυποστάτου θεότητος τὸ μυστήριον — οὐ μόνον δέ, ἀλλὰ καὶ τὴν ἐνανθρώπησιν τοῦ ἑνὸς τῆς αὐτῆς Ἁγίας Τριάδος Λόγου Θεοῦ σαφῶς προδιαγράφων.

Καὶ τάχα κατ' εἰκόνα μέν ἐστι γυμνὴ ἡ ψυχὴ τῆς γυμνῆς θεότητος, καθ' ὁμοίωσιν δὲ τῆς τοῦ Λόγου σαρκώσεως τὸ σύνθετον ἡμῶν τῆς ψυχῆς καὶ τοῦ σώματος· ὅπερ ἐπὶ ἀγγέλων οὐκ ἔστιν εὑρεῖν ὡς τὰ ἄλλα
174R ἅπερ ἡμῖν / καὶ τοῖς ἀγγέλοις κοινὰ ὁμολογουμένως εἰσίν.
Ἤ, εἰ μὴ κατὰ τοῦτο ἰδιαζόντως ἀλλὰ κατὰ ταῦτα κοινῶς, καὶ ἄγγελος ἂν εἰκὼν ἦν τε καὶ ἐλέγετο ἀκωλύτως Θεοῦ.

Ἀλλὰ μὴν ἡ Γραφὴ μόνον τὸν ἄνθρωπον λέγει κατ᾽ εἰκόνα Θεοῦ γεγενῆσθαι. Ἐν μὲν γὰρ τῇ Ποιήσει φησὶν "ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν"*· ἐπὶ δὲ τοῦ Νῶε ὅτι "ἐν εἰκόνι Θεοῦ ἐποίησε τὸν ἄνθρωπον"**· ὁ δὲ μακάριος Παῦλος "ἀνὴρ οὐκ ὀφείλει," φησί, "κατακαλύπτεσθαι, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων"***. Εἰ δὲ μόνος ὁ ἄνθρωπος ἐν τοῖς γεγονόσιν εἰκών, πρόδηλον ὡς μόνῳ τούτῳ, τούτου προειρημένου, ἰδίαν τινὰ τῆς προσηγορίας προσήκει εἶναι τὴν αἰτίαν. Ἀλλ᾽ οὔτε τὸ νοερὸν μόνον, οὔτε τὸ λογικόν· τοιαύτας γὰρ εἶναι καὶ τὰς ἀοράτους φαμὲν δυνάμεις. Οὐ μὴν οὐδὲ τὸ ἀρχικόν· καὶ γὰρ καὶ τοῦτο ταῖς ἀοράτοις προσὸν ὁρῶμεν δυνάμεσιν. Ὡς ὁ μακάριος Παῦλος ποτὲ μὲν λέγει "ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι"[9]. ποτὲ δὲ "ἵνα γνωσθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις"[99]. Ὅθεν καὶ τὰς ἐναντίας οὕτω καλεῖ δυνάμεις, ὡς ἂν ἐξ ἐκείνων ἐκπεπτωκυίας τῶν ταγμάτων: "οὐκ ἔστι γὰρ ἡμῖν," φησίν, "ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς

174V τὰς ἐξουσίας, | πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους"[999].

Οὕτω καὶ ἄγγελοι καλοῦνται, καὶ Μιχαήλ, φησίν,‡ ὁ ἄρχων ὑμῶν, καὶ ἄρχων Περσίδος. Εἴρηται δὲ καὶ περὶ τῶν φωστήρων "τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας· καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός"‡‡. ὅπερ ὁ Δα(υί)δ ἐξουσίαν ἐκάλεσεν εἰπών: "τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς

---

* Γένεσις 1,26. *** Πρὸς Κορινθίους Α 11,7. 99 Πρὸς Ἐφεσίους 3,10 ‡ Δανιὴλ 10,13-21 12,1.

ἐξουσίαν τῆς νυκτός."*

Πῶς οὖν οἷόν τε ἦν κατά τι τούτων λέγεσθαι εἰκόνα τὸν ἄνθρωπον, ὧν δὴ μέτεστι πολλοῖς τῶν γεγονότων, μόνου τε αὐτοῦ κατ᾽ εἰκόνα γεγενῆσθαι λεγομένου Θεοῦ; Ἀφ᾽ οὗ δῆλον ἡμῖν, ὅτι μίαν τινὰ προσῆκε τὴν αἰτίαν εἶναι καθ᾽ ἣν οὗτος οὕτω προσηγόρευται μόνος καὶ οὐδὲν ἄλλο μετέχει τῶν γεγονότων ὥστε μηδὲ τῆς προσηγορίας μετέχον ταύτης. Ἔστι δὲ ἣν ἔφθην εἰπών.

Μᾶλλον δὲ πάλιν ἐπ᾽ αὐτὴν τὴν ἀρχὴν τοῦ λόγου ἀναδράμωμεν, ἐκεῖθεν ὥσπερ ἔκ τινος πηγῆς πρῶτον ζητοῦντες τὸ τί δήποτε μὴ καθ᾽ ὁμοιότητα τῶν λοιπῶν λογικῶν, ἤγουν τῶν ἀγγέλων, ἢ πάλιν κατ᾽ ἰσότητα τῶν ἐμψύχων ζώων, ὁμοιοτρόπους τὰς προπατορικὰς καὶ κορυφαίας ἡμῶν ὁ Θεὸς ὑποστάσεις, τοῦ Ἀδὰμ λέγω καὶ τῆς Εὔας καὶ τοῦ ἐξ αὐτῶν προελθόντος υἱοῦ, πεποίηκεν, ἀλλὰ τὸν μὲν Ἀδὰμ ἀναιτίως καὶ ἀγεννήτως ὑπέστησε, τὸν δὲ δεύτερον αὐτοῦ ἄνθρωπον,
175R τὸν υἱόν, γεννητόν, τὴν δὲ Εὔαν οὔτε / γεννητῶς οὔτε πάλιν ἀναιτίως, ἀλλὰ ληπτῶς, ἤτοι ἐκ τῆς οὐσίας τοῦ ἀναιτίου Ἀδὰμ ἐξελθοῦσαν ἀρρήτως οὐσίωσεν. Ἦ δῆλον ὅτι αἱ τρεῖς αὗται τῶν προγόνων κεφαλαί, πάσης** τῆς ἀνθρωπότητος ὁμο-ούσιοι ὑποστάσεις, κατ᾽ εἰκόνα τινά, ὡς καὶ Μεθοδίῳ δοκεῖ, τυπικῶς γεγόνασι τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος. Τοῦ μὲν ἀναιτίου καὶ ἀγεννήτου Ἀδὰμ τύπον καὶ εἰκόνα ἔχοντος τοῦ ἀναιτίου καὶ πάντων αἰτίου παντοκράτορος Θεοῦ καὶ Πατρός· τοῦ δὲ γεννητοῦ αὐτοῦ υἱοῦ εἰκόνα προδιαγράφοντος τοῦ γεννητοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ· τῆς δὲ ἐκπορευτῆς

---

* Ψαλμοὶ 135(136), 8-9.

** fortasse: <αἱ> πάσης

Εὔας σημαινούσης τὴν τοῦ Ἁγίου Πνεύματος ἐκπορευτὴν ὑπόστασιν — διὸ οὐδὲ ἐνεφύσησεν αὐτῇ ὁ Θεὸς πνοὴν ζωῆς, διὰ τὸ τύπον αὐτὴν εἶναι τῆς τοῦ Ἁγίου Πνεύματος πνοῆς καὶ ζωῆς, καὶ διὰ τὸ μέλλειν αὐτὴν δι' ἁγίου πνεύματος δέξασθαι Θεὸν τὸν ὄντως ὄντα, πάντων πνοὴν καὶ ζωήν. Ὅθεν καὶ ἔστιν ἰδέσθαι καὶ θαυμάσαι ὅτι ὁ μὲν ἀγέννητος Ἀδὰμ ἄλλον ἀγέννητον ἢ ἀναίτιον ἐν ἀνθρώποις οὐκ ἔσχεν ὅμοιον, ὥς περ οὐδὲ ἡ ἐκπορευτὴ Εὔα, ὡς τύποι ἀληθεῖς ὑπάρχοντες τοῦ ἀγεννήτου Πατρὸς καὶ τοῦ ἐκπορευτοῦ καὶ ἁγίου Πνεύματος· ὁ δὲ γεννητὸς υἱὸς πάντας ἀνθρώπους, γεννητοὺς υἱοὺς ὄντας, ἀδελφοὺς ὁμοίους ἔσχεν, ὡς κατ' εἰκόνα καὶ ὁμοίωσιν τυπικὴν ὑπάρχων

175v Χριστοῦ, τοῦ γεννητοῦ Υἱοῦ, ὃς ἐγένετο ἄνθρωπος/πρωτότοκος ἄνευ σπορᾶς ἐν πολλοῖς ἀδελφοῖς.

Εἰ δὲ μὴ οὕτως καὶ κατὰ τοῦτο τὸ κατ' εἰκόνα ταῦτα, τί δήποτε μὴ τέσσαρες ἢ δύο ἢ πλείονες ὑποστάσεις τῶν προπατόρων γεγόνασι, παρηλλαγμένας ἔχουσαι τὰς ὑποστατικὰς αὐτῶν ἰδιότητας (λέγω δὴ τὸ ἀγέννητον καὶ τὸ γεννητὸν καὶ τὸ ἐκπορευτόν), ἀλλὰ τρεῖς καὶ μόναι;

Οὐκοῦν ἔχεις κατ' εἰκόνα καὶ ὁμοίωσιν τυπικὴν Τριάδα προσώπων ἐν μονάδι φύσεως. Ἀκόλουθόν σε λοιπὸν μαθεῖν καὶ μονάδα φύσεως ἐν τρισὶν ὑποστάσεσι. Πῶς δὲ τοῦτο καλῶς διαγνῶναι δυνήσῃ; Ἐκ τῆς ἑαυτοῦ, φησίν, κατασκευῆς, ἐκ τῆς ἑαυτοῦ συνθέσεως, ἐκ τῶν ἐντὸς ἑαυτοῦ. Τοῦτο γὰρ ἡ τοῦ σοφοῦ

συμβουλὴ καὶ παραίνεσις πρὸ μικροῦ σοι προυτρέπετο, εἰ βούλει, λέγοντος, γνῶναι Θεόν, πρῶτον γνῶθι σαυτόν. Εἴσιθι, φησίν, ὑποδὺς ἐν σαυτῷ· διάβλεψον, ὡς ἐν ἐσόπτρῳ τινί, ἐν τῇ ψυχῇ σεαυτοῦ· διάκρινον τὴν ταύτης κατασκευήν· καὶ ὄψῃ σαυτὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ τυγχάνοντα.

Ἀνώνυμός σου γὰρ καὶ ἄγνωστος καὶ νοερὰ καὶ ἀθάνατος τῆς ψυχῆς ἡ οὐσία, κατ' εἰκόνα καὶ ὁμοίωσιν τυπικὴν τοῦ ἀνωνύμου καὶ ἀγνωρίστου καὶ ἀθανάτου Θεοῦ καθέστηκεν. Οὔτε γὰρ Θεοῦ οὔτε ψυχῆς λογικῆς οὐσίαν ἔγνω τῶν ἐξ αἰῶνός τις γεγεννημένων ἀνθρώπων.

Ζωοποιὸς καὶ συστατικὴ ἡ ψυχὴ ὑπάρχει
176R τῆς τετραστοίχου τοῦ σώματος φύσεως κατ' εἰκόνα Θεοῦ τοῦ προνοητοῦ πάσης τῆς τετραπεράτου καὶ τῆς ἄνω κτίσεως. Διόπερ οὔτε τὸν τοῦ Θεοῦ τόπον, ἔνθα κατοικεῖ, <γνωρίζομεν>, ἀλλὰ μόνον πιστεύομεν ὅτι καὶ ἐν τῷ παντί ἐστι καὶ ὑπὲρ τὸ πᾶν· οὔτε μὴν τὸν τόπον τῆς ψυχῆς οἴδαμεν ἔνθα οἰκεῖ ἐν τῷ σώματι, ἀλλὰ μόνον ἐπιστάμεθα ὅτι ἐν τῷ παντὶ σώματι ἔστι τε καὶ ἐνεργεῖ.

Ἔχει σου καὶ ἕτερόν τι κατ' εἰκόνα Θεοῦ ἡ ψυχή· λέγω δὴ τὸ ἑτεροούσιον αὐτὴν εἶναι πάσης κτιστῆς φύσεως. Τὸ δὲ πάντων παραδοξότερον τον ἐν ἡμῖν κατ' εἰκόνα ἐκεῖνό ἐστιν, ὅτι οὔτε τῆς τοῦ Θεοῦ ὑπάρξεως τοὺς λόγους ἀνθρώπινος νοῦς καταλαμβάνεσθαι

δύναται, οὔτε μὴν τοὺς τῆς ψυχικῆς ἡμῶν οὐσίας, πῶς εἰς ὕπαρξιν πέφυκέ τε καὶ παραγίνεται.

Ἀλλ' ἄγε δὴ ἐπ' αὐτὸ τὸ κυριώτατον τοῦ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἔλθωμεν, ὅπερ κατὰ τὰς ὑποσχέσεις δείξωμεν τὸ μοναδικὸν τῆς ἐν Τριάδι θεότητος. Ποῖον δέ ἐστι τοῦτο; Εὔδηλον ὅτι ἡ ἡμετέρα πάλιν ψυχή καὶ ὁ ταύτης νοερὸς λόγος καὶ ὁ νοῦς, ὅντινα ὁ Ἀπόστολος* πνεῦμα προσηγόρευσεν, ὅτε διακηρύσσεται ἁγίους ἡμᾶς εἶναι τῇ ψυχῇ καὶ τῷ σώματι καὶ τῷ πνεύματι.

Ἀγέννητος μὲν γὰρ πάλιν ἐστὶν ἡ ψυχὴ καὶ ἀναίτιος εἰς τύπον τοῦ ἀγεννήτου καὶ ἀναιτίου Θεοῦ καὶ Πατρός· οὐκ ἀγέννητος δὲ ὁ νοερὸς αὐτῆς λόγος, ἀλλ' ἐξ αὐτῆς
176V γεννώμενος ἀρρήτως καὶ/ἀοράτως καὶ ἀνερμηνεύτως καὶ ἀπαθῶς εἰς τύπον τοῦ γεννητοῦ Υἱοῦ· ὁ δὲ νοῦς οὐδὲ ἀναίτιός ἐστιν οὐδὲ γεννητός, ἀλλ' ἐκπορευτός, πάντη διατρέχων καὶ τὰ πάντα διασκοπῶν καὶ ἀοράτως ψηλαφῶν, κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Παναγίου καὶ ἐκπορευτοῦ Πνεύματος, περὶ οὗ εἴρηται** ὅτι "τὸ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ." Οὐκ ἔστιν ἐκπορευτὴ ἡ ψυχή, ἕως οὗ ἐστιν ἐν τῷ σώματι· ἐπεὶ εἰ ἐκπορευτὴ ἦν, ἄρα ἂν καθ' ὥραν ἀπεθνήσκομεν. Οὐκ ἔστιν ἀγέννητος ὁ λόγος ἡμῶν, ἐπεὶ ἄλογοί τινες καὶ κτηνώδεις ὑπήρχομεν ἄν.

Τὸ δὲ παραδοξότερον τῶν παραδόξων τούτων ἐκεῖνό ἐστιν, ὅτι ψυχὴν μὲν ἁπλῆν τινα ἔχομεν· ὁμοίως καὶ νοῦν μοναδικὸν καὶ ἀσύνθετον· λόγον δὲ διπλοῦν, διπλῆν

* Πρὸς Θεσσαλονικεῖς Α 5,23.

** Πρὸς Κορινθίους Α 2,10. Cf. Ἐκκλησιαστής 7,25-6.

ἔχοντα τὸν αὐτὸν τὴν γέννησιν, καὶ ἕνα καὶ ἀμέριστον φυλαττόμενον. Γεννᾶται γὰρ ὁ λόγος ἐν τῇ καρδίᾳ γέννησίν τινα ἀκατάληπτον καὶ ἀσώματον, καὶ μένει ἔνδον ἀγνώριστος· καὶ γεννᾶται δευτέραν γέννησιν σωματικὴν διὰ χειλέων, καὶ τότε τοῖς πᾶσι γνωρίζεται, τῆς δὲ γεννησάσης αὐτὸν ψυχῆς οὐ χωρίζεται· ἵνα διὰ τῶν δύο τοῦ λόγου ἡμῶν γεννήσεων σαφῶς τὰς δύο τοῦ Θεοῦ Λόγου γεννήσεις κατ' εἰκόνα τινὰ καὶ ὁμοίωσιν μάθωμεν.

Γεγέννηται γὰρ ἀοράτως καὶ ἀνερμηνεύτως καὶ
177R ἀκαταλήπτως πρὸ τῶν αἰώνων ἐκ τοῦ Πατρός, καὶ ἔμενεν ἄγνωστος ὡς ἔν τινι ψυχῇ πρὸς τὸν Πατέρα, ἕως, ὥσπερ ἐκ καρδίας τινὸς τῆς ἁγίας Παρθένου, ἀφθόρως καὶ ἀπόρως γεγέννηται τὸ κατὰ σάρκα, καὶ ἐνεφανίσθη ἡμῖν σωματικῶς διὰ δευτέρας γεννήσεως.

Ἐνῆν καὶ ἄλλα περὶ τοῦ κατ' εἰκόνα εἰπεῖν, καὶ ἀποδεῖξαι σαφῶς καθ' ὅσους τρόπους ἡμεῖς τὸ θεῖον ἐξεικονίζομεν, μηδὲν τῶν ἀγγέλων πρὸς ταῦτα συμμετεχόντων ἡμῖν· οἷον ὅτι καὶ συνδημιουργεῖ τῷ Θεῷ ἀμηγέπως ὁ ἄνθρωπος, καὶ θετικῶς συμμετέχει τῆς κλήσεως, καὶ ἕτερα πλείονα τούτων. Ἀλλ' ἀπόχρη καὶ ταῦτα τοῖς μὴ λίαν ἀγνώμοσιν. Οὐ γὰρ ἐγκώμιον ἀνθρώπου ὁ λόγος ὥρμηται λέγειν, ἀλλὰ μόνον ἀπόδειξιν παρασχεῖν, τίνα λόγον ἰδιοτρόπως ἡμεῖς παρὰ τὰς ἀοράτους δυνάμεις καὶ νοερὰς τὸ Θεῖον ἐξεικονίζομεν, ὡς ἂν ἐκ τῆς εἰκόνος καλῶς τὸ ἀρχέτυπον καταμάθωμεν· εἶτ' ἀκριβῶς διαγνόντες τί τίνος αἴτιον ἐν τῇ εἰκόνι, τὴν ἐν τῷ πρωτοτύπῳ μακρὰν ἀμφισβήτησιν διαλύσωμεν.

Κατανοήσατε οὖν ἀδελφοὶ τῶν εἰρημένων τὴν δύνα-
μιν ἀκριβῶς, καὶ ἀποκρίθητε φιλαλήθως ἡμῖν. Δέδεικται γὰρ
ὅτι ὁ μὲν Ἀδὰμ τὸν Πατέρα, ὁ δὲ Σὴθ τὸν Υἱόν, ἡ δὲ
Εὔα τὸ Ἅγιον Πνεῦμα ἐξεικονίζει. Καὶ πάλιν, ἡ μὲν ψυχὴ
177V τὸν Πατέρα, ὁ δὲ λόγος τὸν Λόγον, τὸ δὲ Πνεῦμα ὁ νοῦς./

Τί τοίνυν πρὸς τοῦτό φατε; Ἐκ μόνου τοῦ Ἀδὰμ καὶ ὁ Σὴθ καὶ ἡ Εὔα ὡς ὁ Υἱὸς καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρός, ἢ μᾶλλον ἐκ τῶν δύο ἡ Εὔα, τοῦ Ἀδάμ φημι καὶ τοῦ Σήθ, ὥσπερ οἴεσθε; Ἀπὸ τῆς ψυχῆς δὲ καὶ ὁ νοῦς καὶ ὁ λόγος, ἢ ἀπὸ τοῦ λόγου μᾶλλον ὁ νοῦς ἐκπορεύεται, ὡς ἐνίστασθε;

Εἰ μὲν οὖν καθ᾿ ὅντινα τρόπον ἰσχύετε δεῖξαι τὴν Εὔαν ἀπὸ τοῦ Σήθ, καὶ τὸν νοῦν ἐκ τοῦ λόγου, τότε ἂν καὶ ἡμεῖς ἐδεξάμεθα εὐπειθῶς καὶ ἐκ τοῦ Υἱοῦ γίνεσθαι λέγειν, ὥσπερ ὑμεῖς, τοῦ Ἁγίου Πνεύματος τὴν ἐκπόρευσιν, ἀπὸ τῆς εἰκόνος πρὸς τὸ ἀρχέτυπον ἀνατρέχοντες. Εἰ δὲ ἐκ μόνου τοῦ ἀγεννήτου καὶ ἀναιτίου Ἀδὰμ τὴν αἰτίαν, ὡς δέδεικται, τῆς ἐκπορευτικῆς ὑπάρξεως ἔσχεν ἡ Εὔα ὥσπερ καὶ ὁ Σὴθ τῆς γεννητικῆς· καὶ ἐκ τῆς ἀγεννήτου δὲ ψυχῆς καὶ ὁ νοῦς καὶ ὁ λόγος· πάντως καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα ἐκ μόνου, ὡς ἔφαμεν, τοῦ ἀναιτίου καὶ ἀγεννήτου Πατρός. Καὶ λοιπόν, ἐπιγνόντες τὸ ἀληθές, πείσθητε ἡμῖν, μηκέτι μηδὲν ἀμφιβάλλοντες. Τοῦτο τῶν μακρῶν προτάσεων τε καὶ λύσεων τὸ συμπέρασμα. Οὕτως ἡμεῖς καὶ νοεῖν καὶ λέγειν περὶ τοῦ Πνεύματος ἐμπνεόμεθα.

Εἰ μὲν οὖν πρὸς ἀξίαν ὕμνηται ταῦτα, τῆς Τριάδος ἡ χάρις, καὶ τῆς μιᾶς ἐν τοῖς τρισὶ θεότητος.

Εἰ δὲ τῆς ἐπιθυμίας ἐνδεέστερον, ἔχει τὸ νικᾶν καὶ οὕτως ὁ λόγος, ἐπειδὴ πᾶς λόγος καὶ πᾶσα ἀλήθεια δυσ-
178R τέκμαρτός τε καὶ δυσθεώρητος, καὶ οἷον ὀργάνῳ μικρῷ μεγάλα δημιουργοῦμεν τῇ ἀνθρωπίνῃ σοφίᾳ τὴν τῶν ὄντων γνῶσιν θηρεύοντες καὶ τοῖς νοητοῖς προσβάλλοντες μετὰ τῶν αἰσθήσεων· ὁ δὲ περὶ Θεοῦ λόγος ὅσῳ τελειότερος, τοσούτῳ δυσεφικτότερος καὶ πλείους τὰς ἀντιλήψεις ἔχων καὶ τὰς λύσεις ἐργωδεστέρας.

Ἦν μοι σκοπὸς καὶ περὶ τῶν ἀζύμων εἰπεῖν, ὥσπερ ὑπεσχόμην ἐν προοιμίοις, καὶ ἀποδεῖξαι σαφῶς ἀπὸ τῆς Γραφῆς ὅπως Ἰουδαΐζουσιν ἀκριβῶς οἱ μετέχοντες τούτων· ἔτι γε μήν, καὶ περὶ τῆς παναγνου καὶ παναμώμου δεσποίνης ἡμῶν καὶ ἀειπαρθένου Μαρίας, ὡς θεοτόκος ἀληθῶς καὶ ἔστι καὶ λέγεται, καὶ οἱ μὴ οὕτως αὐτὴν καὶ φρονοῦντες καὶ ὀνομάζοντες τῷ Νεστορίῳ συνταχθήσονται πάντως ἐν ἀσβέστῳ πυρί, ὡς ἐκείνῳ συμμέτοχοι καὶ ὁμόφρονες. Ἀλλ' ἐπεὶ εἰς μῆκος ἐκταθέντα τὸν λόγον ὁρῶ, ἄλλως τε καὶ ἰδίας δεόμενα πραγματείας, τὰ ζητήματα ταῦτα ἐπὶ τὸν μετέπειτα ὑμῖν ταμιεύσομαι λόγον. Ἓν δέ τε μόνον ὑπομνήσας ὑμᾶς, τὸ λοιπὸν σιωπήσομαι.

Μᾶλλον δὲ οὐκ ἐγὼ τὴν ὑπόμνη<σιν ποιήσω>, οἱ τὴν πίστιν δὲ φυτεύσαντες ἐν ὑμῖν κορυφαῖοι τῶν Ἀποστόλων καὶ πρὸς τὸν δρόμον τῆς ἀληθείας εὐθύναντες. Νῦν μὲν ὁ Παῦλος, "ἐτρέχετε," λέγων, "καλῶς, τίς ὑμᾶς ἐνέκοψεν τῇ ἀληθείᾳ μὴ πείθεσθαι;"* Νῦν δὲ καὶ ὁ Πέτρος τὸ προφητικὸν ἐκεῖνο φθεγγόμενος: "ἐγὼ δὲ

* Πρὸς Γαλάτας 5,7

178V ἐφύτευσά σε ἄμπελον καρποφόρον, πᾶσαν ἀληθινήν. Πῶς ἐστράφης εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀληθινή;"* Ἡ φυτεία καλή· ὁ καρπὸς ἐκ προαιρέσεως κακός. Καὶ διὰ τοῦτο ὁ φυτεύσας μὲν ἀναίτιος, ἡ δὲ ἄμπελος καυθήσεται, ἐπειδὴ εἰς ἀγαθὸν ἐφυτεύθη καὶ εἰς κακὸν ἐκαρποφόρησεν. Καὶ γὰρ οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὡς πᾶσα αἵρεσις κατὰ δύο καὶ γέγονε καὶ γίνεται τρόπους· ἢ γὰρ κατὰ φιλαυτίαν καὶ φιλοδοξίαν ἐν γνώσει, ὅπερ ἐστὶ καὶ ἀσύγγνωστον διὰ τὴν φιλόνεικον ἔνστασιν· ἢ κατὰ θεῖον μὲν ζῆλον, ἀγνοίᾳ δὲ τῆς ἀληθοῦς καταλήψεως, ὅπερ τάχα καὶ συγγνωστόν, καὶ πρὸς μετάθεσιν οὐκ ἀνέλπιστον.

Μάρτυρες δέ, τῆς μὲν ἐν γνώσει γινομένης αἱρέσεως, ἄλλοι τε πολλοὶ καὶ Ἄρειος ὁ παράφρων καὶ Ὠριγένης, (οὐ γὰρ ἀνάγκη πάντας ἀπαριθμεῖν,) καὶ πρό γε τῶν ἄλλων Σίμων ὁ Μάγος, καὶ ὁ παραβάτης Ἰουλιανός· ἐν γνώσει γὰρ οὗτοι διήμαρτον. Τῆς δὲ κατὰ θεῖον μὲν ζῆλον, ἀγνοίᾳ δὲ τῆς ἀληθοῦς καταλήψεως, Κωνστάντιος πρὸς τοῖς ἄλλοις, ὁ τοῦ μεγάλου Κωνσταντίνου υἱός, οἶμαι δὲ καὶ Θεόφιλος ὁ κατὰ τῶν θείων εἰκόνων μανείς, καὶ Παῦλος πρὸ τούτων ὁ μέγας Ἀπόστολος καὶ οὓς αὐτὸς ἐμαρτύρησε λέγων: "μαρτυρῶ γὰρ ὑμῖν, ὡς ζῆλον μὲν ἔχετε, οὐ κατ' ἐπίγνωσιν δέ!"**

179R Τοῦτο οὖν καὶ ἡμεῖς, ἀδελφοί, τὸ τοῦ Ἀποστόλου μαρτυροῦμεν ὑμῖν, τοῖς διά τινας εὐδιαλύτους διαφορὰς ἀποσχιζομένοις ἡμῶν, τῶν πάλαι ὁμοδόξων καὶ ὁμογνωμόνων, κατά τινα ὡς πιστεύομεν θεῖον ζῆλον, καὶ οὐκ ἀπό τινος δυστροπίας καὶ γνώμης ἐθελοκάκου.

* Ἱερεμίας 2,21. Cf. Ψαλμοί 79(80), 15.
** Πρὸς Ρωμαίους 10,2.

Ἀλλὰ μετάθετε, παρακαλῶ, τὸν ἔνθεον ζῆλον ὑμῶν
πρὸς τὴν τῆς ἀληθείας κατάληψιν, καὶ δεῦτε συνουλώθητε πά-
λιν καλῶς τῷ ὅλῳ σώματι τῆς καθολικῆς καὶ ἀποστολικῆς
Ἐκκλησίας, ἐξ οὗ κακῶς ἀπεσχίσθητε· καὶ μὴ τὴν κοινὴν
ἡμῶν κεφαλήν, ἥτις ἐστὶν ὁ Χριστός, ἐλλιπῆ τῶν αἰσθήσεων
ἀπεργάζεσθε ἐπὶ πλεῖον κολοβοῦντες τὴν μίαν, καὶ λυποῦντες
αὐτὸν διὰ τοῦτο. Οὐκ ἀγνοεῖτε γάρ, οἶδα, ὅτι τύπον τῶν
πέντε αἰσθήσεων ἐπέχουσι τὰ πέντε Πατριαρχεῖα. Τὰ μὲν
Ἱεροσόλυμα τῆς ὁράσεως· διὰ τὸ πρῶτον αὐτοῖς Χριστὸν
ὁραθῆναι κἀκεῖθεν τε τοὺς ὁρῶντας ἅπαντας εἶναι, τὸ
πρῶτον τῶν αἰσθήσεων εἶναι λαχόντα. Ἡ δὲ Ἀντιόχεια
τῆς ὀσφρήσεως· ἐκεῖθεν γὰρ πρῶτον ἡ τῆς κλήσεως ἡμῶν
ἀπὸ Χριστοῦ εὐωδία, ὡς ὀσμὴ μύρου πολυτελοῦς, εἰς τὰ
τῆς οἰκουμένης πέρατα ἐκχυθεῖσα, πάντας ἀποστολικῶς ἐδίδαξε
λέγειν "Χριστοῦ εὐωδία ἐσμέν"*· βεβαιοῖ τοῦτο πανάληθες
εἶναι καὶ ὁ πρῶτος μετὰ Πέτρον τὸν κορυφαῖον αὐτῆς ποιμε-
νάρχης, Εὔοδος ὀνομαζόμενος. Ἡ δέ γε Ῥώμη, ὡς οἶμαι,
179V τὸν τῆς γεύσεως ἔλαχε τύπον· ἐν αὐτῇ γὰρ/ ὁ Πέτρος ἐπὶ
τὴν πέτραν τῆς πίστεως λινὸν διὰ τοῦ Λίνου πηξάμενος
πρῶτον, εἶτα καὶ τὸ κλῆμα τῆς ἀληθινῆς ἀμπέλου διὰ τοῦ
Κλήμεντος κατεφύτευσεν, ἐξ οὗ περ ὑμῶν οἱ πρόγονοι τοὺς
περκάζοντας τῆς πίστεως βότρυς ἀποθλίβοντες, τοῦ οἴνου τε
τῆς εὐφροσύνης ἐγεύοντο καὶ τὰς καρδίας ηὐφραίνοντο·
ὑμεῖς δέ, τῇ γεύσει μὴ ἀρκεσθέντες, ἀλλ' εἰς κόρον αὐτοῦ ἐμπλη-
σθέντες, τὸ πλέον τῆς πίστεως ἐξημέσατε.

Λείπεται τοίνυν τὴν Ἀλεξάνδρειαν τύπον

---

* Πρὸς Κορινθίους Β 2,15.

φέρειν τῆς ἀκοῆς· ἐν αὐτῇ γὰρ πρῶτον ἠκούσθη διὰ τῶν μάγων γεννηθεὶς ὁ Χριστός, καὶ πρῶτον ἐν αὐτῇ παραγενομένου Χριστοῦ πάντα μὲν τὰ δαιμόνων ἀγάλματα πεπτώκασι καὶ συνετρίβησαν, τὸ δὲ ὄνομα τοῦ Χριστοῦ ἐπὶ πᾶσαν ἠκούσθη τὴν Αἴγυπτον. Ἡ δέ γε νέα Ῥώμη καὶ ἡμετέρα τὴν ἀφήν, ὡς ἐσχάτην μέν, καθολικὴν δὲ τῶν αἰσθήσεων οὖσαν, σαφῶς εἰκονίζει, καθ᾿ ὃ καὶ οἰκουμενικὴ οὐ μόνον πατριαρχία ἀλλὰ καὶ αὐτοκρατορία ἐστί τε καὶ λέγεται.

Χρὴ δὲ καὶ τοῦτο σκοπεῖν, (οὐκ ἄχρηστον γάρ, οὐδ᾿ ἀσυντελές,) εἰ καὶ παρεκβατικώτερόν πως ἐστι. Τίνος γὰρ χάριν αὗται μόναι αἱ πέντε πασῶν τῶν Ἐκκλησιῶν προεκρίθησαν τοῦ Κόσμου παντὸς ἄρχειν τε καὶ ἡγεμονεύειν, καὶ κεφαλαὶ τῶν ἄλλων ὑπάρχειν; Ἢ πάντως κατὰ τὴν μεγάλην τοῦ Θεοῦ βουλήν τε καὶ πρόγνωσιν,
180R τοῦ πάντα ἐπισταμένου πρὸ τοῦ γενέσθαι, | οἰκονομηθέντος
καὶ τούτου. Ἔμελλε γάρ, κατὰ τὴν αὐτοῦ πρόγνωσίν τε καὶ πρόρρησιν, τὰ πρῶτα τε ἔσχατα καὶ τὰ ἔσχατα πρῶτα γενέσθαι. Καὶ δῆλον τοῦτο ἐξ οὗπερ μέλλω ἐρεῖν.

Κορυφαὶ αὗται τῶν ἄλλων καὶ κεφαλαὶ καὶ λέγονται καὶ εἰσίν. Οὐκ ἄλλως δὲ ταύτας οὕτω καλουμένας εὑρήσομεν, εἰ μὴ τὴν ἐσχάτην θήσομεν πρώτην, ἣν ὁ πρωτόκλητος Ἀνδρέας κεχειροτόνηκεν ἀπ᾿ ἀρχῆς εἰς ποιμεναρχίαν διὰ τοῦ Στάχυος. Πῶς δὲ τοῦτο γενήσεται; Λάβε μοι τούτων τὰ πρῶτα μόνα τῶν κλήσεων γράμματα. Γράψον καθ᾿ εἱρμόν, ὡς ἄνωθεν ἠριθμήσαμεν ταύτας· ἤγουν

τῶν μὲν Ἱεροσολύμων τὸ ἰῶτα, τῆς δ' Ἀντιοχείας τὸ ἄλφα, τὸ ῥῶ τε τῆς Ῥώμης, καὶ τῆς Ἀλεξανδρείας τὸ ἄλφα, εἶτα τελευταῖον τῆς μεγαλοπόλεως ταύτης καὶ ἡμετέρας τὸ κάππα. Ἔπειτα, μετὰ τὸ γράψαι τὰ ὀνόματα τῶν πόλεων οὕτως ὡς ἡμεῖς ἠριθμήσαμεν ἁρμοδίως καὶ κανονικῶς ἐντάξαμεν ὧδε, ἀναποδίσας ἀνάγνωθι ἀντιστρόφως, καὶ εὑρήσεις θαυμασίως τὴν ἀκροστιχίδα λέγουσαν Καραι, ἤγουν κεφαλαὶ καὶ κορυφαὶ τῶν ἄλλων.

Ἀλλ' ἵνα καὶ σαφέστερον διαγνώσουσιν οἱ κατ' ἐμὲ βραδύτεροι ἴσως τὸν νοῦν καὶ μὴ λίαν ὀξεῖς, ἐπὶ σχήματος ἐκθήσομαι ταύτας, δι' ἐρυθρῶν κεφαλαιώσας
180v γραμμάτων τὰς ἀρχὰς τῶν ὀνομάτων αὐτῶν./Λέγομεν γὰρ
οὕτως:

Ἱεροσόλυμα
Ἀντιόχεια
Ῥώμη
Ἀλεξάνδρεια
Κωνσταντινούπολις.

Ἀφέντες οὖν τὰ διὰ μέλανος γράμματα πάντα, τὰ διὰ κινναβάρεως* μόνον πρῶτα στοιχεῖα τῶν κλήσεων κατ' εὐθεῖαν ἀνάγνωτε πρῶτον· εἶτα διαγνόντες αὐτὰ μηδὲν ὅλως λέγοντα, ἀνάγνωτε, ὡς εἶπον, ἀναποδίσαντες ἀντιστρόφως ἀπὸ τοῦ κάππα, καὶ πάντως ἐπιγνώσεσθε ἀκριβῶς ὅτι λέγουσι Καραι.

Εἰ δὲ ταῦθ' οὕτως ἔχει ὡς ἀπεδείξαμεν, τίς ἔτι ἀμφιβάλλειν τολμᾷ μὴ τὴν καθ' ἡμᾶς βασιλίδα τῶν πόλεων εἰληφέναι τὰ πρωτεῖα; Ὁρᾶτε ὡς πανταχόθεν

---

* in marg. manu prima: κιννάβαρις, κινναβάρεως διὰ δύο νν.

τρίτη εὑρίσκεται ἡ καθ' ὑμᾶς παλαιὰ Ῥώμη, εἴ τε ὀρθῶς ἀναγνῶμεν τὴν ἀκροστιχίδα τῶν πόλεων εἴτε καὶ ἀνεστρόφως; Καὶ ὡς πάλαι προώριστο τῷ Θεῷ τὴν ἐσχάτην πρώτην γενέσθαι κατὰ τὴν ἐκείνου ἀπόφασιν;

Μὴ τοίνυν ἐπὶ πλέον ὑμεῖς τὰ πρωτεῖα ζητοῦντες, τὴν μίαν τῶν πέντε αἰσθήσεων ἀποτέμνετε τοῦ σώματος τοῦ Χριστοῦ· ἀλλὰ δεῦτε συμβῶμεν ἀλλήλοις πνευματικῶς καὶ κατὰ τὸ δεσποτικὸν παράγγελμα εἰρηνεύσωμεν· καταθώμεθα τὸν μακρὸν κατὰ τῆς εὐσεβείας πόλεμον, ῥίψαντες τὰ ἠκονημένα
181R ταῦτα τῆς φιλονίκου/ ἐνστάσεως ὅπλα, μεταχαλκεύσαντες δὲ τὰς ζιβύνας τῆς φιλονεικίας εἰς ἄροτρα ἀληθείας, καὶ τὰς μαχαίρας τῆς οἰήσεως καὶ τοῦ τύφου εἰς δρέπανα τοῦ κατ' ἐπίγνωσιν ζήλου. Δεινὴ γὰρ ἀγνωμοσύνη μὴ καταδέχεσθαι τὰ διδάγματα τοῦ Κυρίου, εὐκρινῶς διϊστῶντος ἡμῖν τῶν προσώπων τὴν ἑτερότητα: ἐὰν γὰρ ἀπέλθω, φησί, "παρακαλέσω τὸν Πατέρα καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν." * Οὐκ οὖν Υἱὸς μὲν ὁ παρακαλῶν, Πατὴρ δὲ ὁ παρακαλούμενος, Παράκλητος δὲ ὁ ἀποστελλόμενος;

Ἆρ' οὖν οὐ φανερῶς ἀναισχυντεῖτε δύο ἀρχὰς εἰσάγοντες, ὡς Μαρκίων ὁ ἀσεβέστατος, καὶ δύο Θεοὺς κηρύττοντες λεληθότως; Τὸ γὰρ λέγειν ἐκπορεύεσθαι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, οὐδὲν ἄλλο ἢ δύο ἀρχὰς εἰσφέρειν ἐστίν. Τὸ δὲ δύο λέγειν ἀρχάς, δύο κηρύττειν Θεούς. Ὁ δὲ δύο κηρύττων Θεούς, καὶ εἰς τρεῖς δυνηθείη προβῆναι, καὶ πλείους ἂν φαντασθείη. Τοῦτο δὲ εἰς πολυθεΐαν Ἑλληνισμοῦ ἄντικρυς ἡμᾶς ἀπάγει· οὗ τί γένοιτ' ἂν ἀσεβέστερον;

* Κατὰ Ἰωάννην 14, 16. Cf. 16, 7.

Ὁρᾶτε ὅπως ἡ κατὰ τοῦ Πνεύματος βλασφημία εἰς δυσσεβεῖς καὶ ἀθεμίτους ὑμᾶς περιήγαγε λόγους; Ὁ γὰρ μὴ μόνον ἐκ τοῦ Πατρὸς ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ προϊέναι λέγειν τὸ Πνεῦμα, ἔλαττον τοῦ Υἱοῦ λεληθότως διορίζεται τοῦτο. Ἡλίκος δὲ ὁ κίνδυνος
181V κατασμικρύνειν τὴν δόξαν τοῦ Παρακλήτου, τοῦ Σωτῆρος ἐν Εὐαγγελίοις ἀποφηναμένου ἠκούσατε. Ἡμῖν δὲ μὴ γένοιτό ποτε τοῦτο εἰπεῖν, παναγία Τριὰς ὁμοούσιε καὶ ὁμόθρονε καὶ ὁμόδοξε· ἀλλὰ ἕνα μὲν Θεὸν λέγειν ἀγέννητον, τὸν Πατέρα, ἐξ οὗ τὰ πάντα· ἕνα δὲ γεννητόν, τὸν Υἱόν, δι᾽ οὗ τὰ πάντα· ἓν δὲ καὶ τὸ ἐκπορευτὸν ἅγιον Πνεῦμα, ἐν ᾧ τὰ πάντα. Τέλειος γὰρ Θεὸς ὁ Πατήρ· τέλειος Θεὸς ὁ Υἱός· τέλειος Θεὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Θεὸς καὶ Θεὸς καὶ Θεός, ἀλλ᾽ οὐ τρεῖς Θεοί· εἷς γὰρ Θεός, ἐπειδὴ καὶ μία θεότης. Ὅπου γὰρ μία οὐσία καὶ μία ἀρχὴ καὶ μία κυριότης, ὁ τῆς ἑνότητος λόγος οὐ διαφέρεται. Ἕνωσις δὲ ὁ Πατήρ — οὐχ ὁ Υἱός, οὐ τὸ Πνεῦμα — ἀλλ᾽ ὁ Πατὴρ ὡς πηγὴ καὶ ῥίζα καὶ αἴτιος καὶ πατήρ, ἐξ οὗ καὶ πρὸς ὃν ἀνάγεται τὰ ἑξῆς, ὥσπερ ἐξ Ἡλίου φῶς καὶ ἀκτῖνες· ἀδιαστάτως γὰρ προϊόντα, ἀδιάστατον καὶ τὴν ἕνωσιν ἔχουσιν.

Ἕνωσιν δὲ τὴν κατ᾽ οὐσίαν φαμέν, οὐχ ἑτέραν τινά, ὡς ὑπονοεῖν ὑμᾶς διὰ τὸ πολύσημον εἶναι τὴν λέξιν συναλείφεσθαι τὰς τρεῖς ὑποστάσεις εἰς ἓν πρόσωπον, (Σαβέλλειον γὰρ τοῦτο καὶ ἄθεον) ἀλλ᾽ ὡς ἔχεσθαι μᾶλλον ἀλλήλας ἀσυγχύτως αὐτάς, καὶ ὥσπερ ἐκ πηγῆς τοῦ Πατρὸς ποταμοὺς ἀφθόνους δύο ἀχωρίστως ἀεὶ προχέεσθαι, μήτε χρόνου διείργοντος μήτε θελήματος μήτε δυνάμεως· ταῦτα γὰρ ἡμᾶς πολλὰ εἶναι πεποί-
182R ηκεν, αὐτοῦ τε ἑκάστου πρὸς ἑαυτὸ καὶ πρὸς τὸ ἕτερον στασιάζοντος. Οἷς δὲ φύσις ἁπλῆ καὶ ὁ τρόπος τῆς ὑπάρξεως ὁ αὐτός, τούτοις καὶ τὸ ἓν εἶναί τε καὶ λέγεσθαι κύριον τῷ ὄντι καθέστηκεν.

Καὶ πάλιν φαμέν: εἷς Κύριος ὁ Πατήρ, εἷς Κύριος ὁ Υἱός, εἷς Κύριος καὶ τὸ Πνεῦμα. Τὸ εἷς καὶ εἷς καὶ εἷς οὐχὶ τρεῖς δηλοῦντες

λέγομεν, ἀλλὰ μόνον διαιροῦμεν τὰς ὑποστάσεις εἰς μίαν κυριό-
τητα ἑνοῦντες αὐτάς, (εἷς γὰρ Κύριος,) ὅτι καὶ ἡ φύσις ἀμέριστος
καὶ ἡ τελειότης ἀνελλιπής. Ἓν γὰρ ἐν τρισὶν ἡ Θεότης κατὰ
τὸν ἡμέτερον θεολόγον, ὃν ὑμεῖς ἀποβάλλεσθε, καὶ τὰ τρία ἕν,
τὰ ἐν οἷς ἡ Θεότης ἤ, τό γε ἀληθέστερον εἰπεῖν, ἃ ἡ Θεότης.
Διαιρεῖται γὰρ ἀδιαιρέτως διὰ τὸ τῶν προσώπων ἀσύγχυτον·
καὶ συνάπτεται διῃρημένως διὰ τὸ τῆς φύσεως ἀπαράλλακτον.

Οὕτως ἡμεῖς θεολογεῖν ἐδιδάχθημεν ἀπ' ἀρχῆς. Οὕτω
δογματίζειν παρελάβομεν ἄνωθεν, ἀπὸ προφητῶν, ἀπὸ ἀποστόλων,
ἀπὸ πατέρων ἁγίων, ἀπ' αὐτοῦ τοῦ Σωτῆρος Χριστοῦ. Οὕτω καὶ
φρονοῦμεν καὶ πιστεύομεν καὶ ὁμολογοῦμεν καὶ κηρύττομεν καὶ
καρδίᾳ καὶ χείλεσι τὴν ἁγίαν Τριάδα. Ἧς νῦν μετρίως ὑποδε-
δέγμεθα τὴν μίαν αὐγὴν ἐκ μιᾶς τῆς Θεότητος· ἣν προσκυνοῦ-
μεν· ἣν δοξάζομεν· ᾗ συμπολιτευσώμεθα προσκυνοῦντες Πατέρα ἐν
Υἱῷ, Υἱὸν ἐν Ἁγίῳ Πνεύματι· ᾗ καὶ παραστaίημεν ὕστερον εἰ-
182 V λικρινεῖς καὶ ἀπρόσκοποι· ἧς καὶ / μεταλάβοιμεν τέλειοι τελείως ἐν
αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν· ᾧ πᾶσα δόξα, τιμὴ καὶ κράτος
εἰς τοὺς αἰῶνας. Ἀμήν. —